# 4. Bibliographie der Schriften

## Testamentum Novum <griech.>

### Francke, August Hermann

### Halle, 1710

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

**Nutzungsbedingungen**
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**
All digital documents of the Francke-Portal are protected by copyright. They may be downladed and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

# ΠΑΥΛΟΥ ΤΟΥ ἈΠΟΣΤΟΛΟΥ Ἡ ΠΡΟΣ ῬΩΜΑΙΟΥΣ ἘΠΙΣΤΟΛΗ.

## Κεφ. α΄. 1.

Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ,

Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, καλεσμένος ἀπόστολος, χωρισμένος εἰς τὸ νὰ κηρύξω τὸ εὐαγγέλιον τοῦ Θεοῦ,

2 (Ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις,)

2 Τὸ ὁποῖον τὸ ἔταξε προτίτερα ὁ Θεός, διὰ μέσου τῶν προφητῶν του, εἰς ταῖς ἁγίαις γραφαῖς,

3 Περὶ τοῦ υἱοῦ αὐτοῦ, (τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα·

3 Διὰ τὸν υἱόν του τὸν Κύριόν μας Ἰησοῦν Χριστόν. ὁ ὁποῖος ἐγεννήθη ἀπὸ τὸ σπέρμα τοῦ Δαβὶδ κατὰ σάρκα·

4 Τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει, κατὰ πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν) Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

4 Καὶ ἐφανερώθη υἱὸς Θεοῦ μὲ δύναμιν, κατὰ Πνεῦμα ἁγιωσύνης, διὰ τῆς ἀναστάσεως ἐκ νεκρῶν.

5 (Δι᾽ οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ.

5 Διὰ μέσου τοῦ ὁποίου ἐλάβαμεν χάριν καὶ ἀποστολήν, διὰ τὸ ὄνομά του, εἰς ὑπακοὴν τῆς πίστεως εἰς ὅλα τὰ ἔθνη·

6 Ἐν οἷς ἐστε καὶ ὑμεῖς, κλητοὶ Ἰησοῦ Χριστοῦ·)

6 Ἀνάμεσα εἰς τὰ ὁποῖα εἶσθε καὶ ἐσεῖς, καλεσμένοι ἀπὸ τὸν Ἰησοῦν Χριστόν.

7 Πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ, ἀγαπητοῖς Θεοῦ, κλητοῖς ἁγίοις·

7 Εἰς ὅλους ὁποῦ εἶναι μέσα εἰς τὴν Ῥώμην, τοὺς ἀγαπημένους τοῦ Θεοῦ, καλεσμένους ἁγίους·

οις· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

8 Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ.

9 Μάρτυς γάρ μου ἐστὶν ὁ Θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι·

10 Πάντοτε ἐπὶ τῶν προσευχῶν μου δεόμενος, εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ, ἐλθεῖν πρὸς ὑμᾶς.

11 Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν, εἰς τὸ στηριχθῆναι ὑμᾶς·

12 Τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ.

13 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, (καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο,) ἵνα καρπόν τινα σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν.

14 Ἕλλησί τε καὶ βαρβάροις,

ἁγίους· ἂς εἶναι χάρις εἰς ἐσᾶς, καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρός μας, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

8 Πρῶτον μὲν εὐχαριστῶ τὸν Θεόν μου διὰ μέσου τοῦ Ἰησοῦ Χριστοῦ διὰ ὅλους σας, ὅτι ἡ πίστις σας κηρύττεται εἰς ὅλον τὸν κόσμον.

9 Διατὶ μάρτυς μου εἶναι ὁ Θεός, τὸν ὁποῖον ἐγὼ λατρεύω μὲ ὅλην μου τὴν ψυχήν, εἰς τὸ εὐαγγέλιον τοῦ υἱοῦ του, ὅτι παντοτεινὰ σᾶς ἐνθυμοῦμαι·

10 Παρακαλῶντας πάντοτε εἰς ταῖς προσευχαῖς μου, ἀνίσως καὶ καμίαν φορὰν θέλω κατευοδωθῆ μὲ τὸ θέλημα τοῦ Θεοῦ, νὰ ἔλθω εἰς ἐσᾶς.

11 Διατὶ ἔχω μεγάλην ἀγάπην νὰ σᾶς εἰδῶ, διὰ νὰ σᾶς μεταδώσω τίποτες χάρισμα πνευματικόν, εἰς τὸ νὰ στηριχθῆτε ἐσεῖς·

12 Καὶ τοῦτο εἶναι, νὰ συμπαρηγορηθοῦμεν εἰς ἐσᾶς, διὰ τὴν πίστιν τὴν ἰδικήν μου καὶ τὴν ἐδικήν σας, ὅπου ἔχομεν ἀνάμεσά μας.

13 Καὶ θέλω νὰ τὸ ἐξεύρετε, ἀδελφοί, ὅτι πολλαῖς φοραῖς ἐβάλθηκα νὰ ἔλθω εἰς ἐσᾶς, (ἀμὴ ἐμποδίσθηκα ἕως τώρα,) διὰ νὰ ἀπολαύσω τίποτες καρπὸν καὶ εἰς ἐσᾶς, καθὼς καὶ εἰς τὰ λοιπὰ ἔθνη.

14 Ἐγὼ εἶμαι χρεώστης καὶ εἰς τοὺς Ἕλληνας καὶ εἰς τοὺς Βαρβά-

ρους

ροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί·

ρους, καὶ εἰς τοὺς σοφοὺς καὶ εἰς τοὺς ἀνοήτους·

15 Οὕτω τὸ κατ' ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι.

15 Ἔτζι εἶμαι πρόθυμος ὅσον τὸ κατὰ δύναμίν μου νὰ εὐαγγελίσω καὶ εἰς ἐσᾶς ὁποῦ εἶσθε μέσα εἰς τὴν Ῥώμην.

16 Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

16 Διατὶ ἐγὼ δὲν ἐντρέπομαι διὰ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· διατὶ εἶναι δύναμις τοῦ Θεοῦ εἰς σωτηρίαν, εἰς κάθε ἕνα ὁποῦ πιστεύει, πρῶτον εἰς τὸν Ἰουδαῖον εἶτα εἰς τὸν Ἕλληνα.

17 Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν· καθὼς γέγραπται· Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.

17 Διατὶ ἡ δικαιοσύνη τοῦ Θεοῦ φανερώνεται διὰ μέσου τοῦ (εὐαγγελίου) ἀπὸ πίστιν εἰς πίστιν, καθὼς εἶναι γεγραμμένον· ὁ δίκαιος θέλει ζήσει ἀπὸ τὴν πίστιν.

18 Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων·

18 Διατὶ ἡ ὀργὴ τοῦ Θεοῦ φανερώνεται ἀπὸ τὸν οὐρανὸν εἰς κάθε ἀσέβειαν καὶ ἀδικίαν τῶν ἀνθρώπων, ὁποῦ κατακρατοῦσι τὴν ἀλήθειαν εἰς ἀδικίαν·

19 Διότι τὸ γνωστὸν τοῦ Θεοῦ, φανερόν ἐστιν ἐν αὐτοῖς· ὁ γὰρ Θεὸς αὐτοῖς ἐφανέρωσε.

19 Διατὶ ἐκεῖνο ὁποῦ ἠμπορεῖ ὁ ἄνθρωπος νὰ γροικήσῃ περὶ τοῦ Θεοῦ, εἶναι φανερὸν εἰς αὐτούς· διατὶ ὁ Θεὸς τοὺς τὸ ἐφανέρωσε.

20 Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης· εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους·

20 Διατὶ τὰ πράγματα τοῦ Θεοῦ, ὁποῦ εἶναι ἀόρατα (ἤγουν ἡ παντοτεινή του δύναμις καὶ θειότης) βλέπονται φανερὰ εἰς τὰ ποιήματά του, ἀπὸ τὴν κτίσιν τοῦ κόσμου, ἐξεταζόμενα μὲ τὸν νοῦν· διὰ νὰ μὴν ἠμποροῦν νὰ ἀπολογηθοῦν·

21 Διότι γνόντες τὸν Θεόν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἢ εὐ-

χα-

21 Διατὶ ἔοντας νὰ γνωρίσουν τὸν Θεόν, δὲν τὸν ἐδόξασαν

χαρίστησαν· ἀλλ' ἐματαιώθη-
σαν ἐν τοῖς διαλογισμοῖς αὐ-
τῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος
αὐτῶν καρδία.
22 Φάσκοντες εἶναι σοφοὶ,
ἐμωράνθησαν.
23 Καὶ ἤλλαξαν τὴν δόξαν
τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώμα-
τι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ
πετεινῶν καὶ τετραπόδων καὶ
ἑρπετῶν.
24 Διὸ καὶ παρέδωκεν αὐ-
τοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις
τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρ-
σίαν, τοῦ ἀτιμάζεσθαι τὰ σώμα-
τα αὐτῶν ἐν ἑαυτοῖς·
25 Οἵτινες μετήλλαξαν τὴν
ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύ-
δει, καὶ ἐσεβάσθησαν καὶ ἐλά-
τρευσαν τῇ κτίσει παρὰ τὸν κτί-
σαντα, ὅς ἐστιν εὐλογητὸς εἰς
τοὺς αἰῶνας. ἀμήν.
26 Διὰ τοῦτο παρέδωκεν αὐ-
τοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας·
αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλ-
λαξαν τὴν φυσικὴν χρῆσιν εἰς
τὴν παρὰ φύσιν·
27 Ὁμοίως τε καὶ οἱ ἄῤῥε-
νες ἀφέντες τὴν φυσικὴν χρῆ-
σιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν
τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους,
ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημο-
σύνην κατεργαζόμενοι, καὶ
τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς
πλά-

οὐδὲ τὸν εὐχαρίστησαν ὡσὰν Θε-
όν· ἀλλὰ ἐματαιώθησαν εἰς
τοὺς συλλογισμούς τους, καὶ ἐσκο-
τίσθη ἡ ἄγνωστός τους καρδία.
22 Καὶ λέγοντες πῶς εἶναι
σοφοὶ, ἐμωράνθηκαν.
23 Καὶ ἄλλαξαν τὴν δόξαν
τοῦ ἀφθάρτου Θεοῦ εἰς ὁμοίωμα
εἰκόνων φθαρτῶν ἀνθρώπων,
καὶ πετεινῶν καὶ (ζώων) τετρα-
πόδων καὶ ἑρπετῶν.
24 Διὰ τοῦτο τοὺς ἐπαρά-
δωκεν ὁ Θεὸς εἰς ταῖς ἐπιθυμί-
αις τῶν καρδιῶν τους, νὰ κάμου-
σιν ἀκαθαρσίαν μαγαρίζοντες
τὰ κορμιά τους ἀνάμεσά τους.
25 Οἱ ὁποῖοι ἄλλαξαν τὴν
ἀλήθειαν τοῦ Θεοῦ μὲ τὸ ψέμα,
καὶ ἐτίμησαν καὶ ἐλάτρευσαν τὸ
κτίσμα περισσότερον παρὰ
ἐκεῖνον ὁποῦ τὸ ἔκτισεν, ὁ ὁποῖ-
ος εἶναι εὐλογημένος εἰς τοὺς
αἰῶνας. Ἀμήν.
26 Διὰ τοῦτο τοὺς ἐπαράδω-
κεν ὁ Θεὸς εἰς πάθη ἐντροπι-
ασμένα· διατὶ αἱ γυναῖκές
τους ἄλλαξαν τὴν φυσικὴν χρῆ-
σιν εἰς τὴν παρὰ φύσιν·
27 Τὸν αὐτὸν τρόπον καὶ οἱ
ἄνδρες ἔσοντας νὰ ἀφήσουν τὴν
φυσικὴν χρῆσιν τοῦ θηλεικοῦ,
ἐξεκάηκαν εἰς τὴν ὄρεξίν τους,
ἕνας μὲ τὸν ἄλλον, κάμνοντες
τὴν ἀσχημοσύνην οἱ ἀρσενικοὶ
εἰς τοὺς ἀρσενικούς· καὶ ἔτζι τὴν
πληρωμὴν (ὁποῦ ἔπρεπε νὰ
πληρωθοῦσιν) τῆς πλάνης τους,

πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες.

28 Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα·

29 Πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πονηρείᾳ, πλεονεξίᾳ, κακίᾳ· μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας·

30 Ψιθυριστὰς, καταλάλους, θεοστυγεῖς, ὑβριστὰς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς,

31 Ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας.

32 Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, (ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσὶν) οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι.

τὴν ἀπολαμβάνουσιν εἰς τοῦ λόγου τους.

28 Καὶ καθὼς δὲν ἐδοκίμασαν νὰ γνωρίσουν μὲ πίστιν τὸν Θεὸν, ἔτζι τοὺς ἐπαράδωκεν ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, νὰ κάμνουσιν ἐκεῖνα ὅπου δὲν πρέπει·

29 Γεμάτους κάθε λογῆς ἀδικίαν, πορνείαν, πονηρίαν, πλεονεξίαν, κακίαν· γεμάτους φθόνον, φόνον, φιλονεικίαν, δόλον, κακὰ ἤθη·

30 Παραμουρμουριστὰς, καταλάλους, θεομισήτας, ὑβριστὰς, ὑπερηφάνους, κενοδόξους, ἐπινοητὰς κακῶν, ἀνυποτάκτους εἰς τοὺς γονεῖς τους·

31 Ἀγνώστους, ἀσυμφώνους, ἀσπλάγχνους, ἀφιλιώτους, ἀνελεήμονας.

32 Οἱ ὁποῖοι ἔστωντας νὰ γνωρίζουν τὴν δικαιοσύνην τοῦ Θεοῦ, ὅτι ἐκεῖνοι ὅπου κάμνουσιν τὰ τοιαῦτα πράγματα εἶναι ἄξιοι θανάτου, ὄχι μόνον αὐτοὶ τὰ κάμνουσιν, ἀλλὰ καὶ συμφωνοῦσιν μὲ ἐκείνους ὅπου τὰ κάμνουσι.

## Κεφ. β΄. 2.

Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε πᾶς ὁ κρίνων. ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων.

2 Οἴδαμεν δὲ ὅτι τὸ κρῖμα τοῦ

Διὰ τοῦτο, ὦ ἄνθρωπε, ὁποῖος καὶ ἂν εἶσαι, ὅπου κρίνεις τὸν ἄλλον, εἶσαι ἀναπολόγητος· διατὶ εἰς ἐκεῖνο ὅπου κρίνεις τὸν ἄλλον, τοῦ λόγου σου κατακρίνεις· διατὶ ἐσὺ ὅπου κρίνεις, τὰ ὅμοια κάμνεις.

2 Καὶ ἐξεύρομεν ὅτι ἡ κρίσις

τοῦ Θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ τοὺς
τὰ τοιαῦτα πράσσοντας.

3 Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρω-
πε ὁ κρίνων τοὺς τὰ τοιαῦτα
πράσσοντας, καὶ ποιῶν αὐτὰ,
ὅτι σὺ ἐκφεύξῃ τὸ κρῖμα τοῦ Θε-
οῦ;

4 Ἢ τοῦ πλούτου τῆς χρηστότη-
τος αὐτοῦ, καὶ τῆς ἀνοχῆς,
καὶ τῆς μακροθυμίας καταφρο-
νεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ
Θεοῦ εἰς μετάνοιάν σε ἄγει;

5 Κατὰ δὲ τὴν σκληρότητά
σου καὶ ἀμετανόητον καρδίαν,
θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν
ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως
δικαιοκρισίας τοῦ Θεοῦ.

6 Ὃς ἀποδώσει ἑκάστῳ κατὰ
τὰ ἔργα αὐτοῦ·

7 Τοῖς μὲν καθ' ὑπομονὴν
ἔργου ἀγαθοῦ, δόξαν καὶ τιμὴν
καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν
αἰώνιον·

8 Τοῖς δὲ ἐξ ἐριθείας, καὶ
ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πει-
θομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς
καὶ ὀργή.

9 Θλίψις καὶ στενοχωρία
ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ
κατεργαζομένου τὸ κακὸν, Ἰου-
δαίου τε πρῶτον καὶ Ἕλληνος.

10 Δό-

σις τοῦ Θεοῦ εἶναι κατὰ ἀλήθειαν
εἰς ἐκείνους ὁποῦ κάμνουσι τὰ τοι-
αῦτα.

3 Καὶ λογιάζεις ἐτοῦτο, ὦ
ἄνθρωπε, ἐσὺ ὁποῦ κρίνεις
ἐκείνους ὁποῦ κάμνουν τὰ τοιαῦ-
τα, καὶ κάμνεις τὰ αὐτὰ, ὅτι
θέλεις φύγει ἐσὺ τὴν κρίσιν τοῦ
Θεοῦ;

4 Ἢ καταφρονεῖς τὴν πολ-
λήν του καλωσύνην, καὶ τὴν
ὑπομονὴν, καὶ τὴν μακροθυμί-
αν, μὴν ἠξεύροντας ὅτι ἡ κα-
λωσύνη τοῦ Θεοῦ σὲ σύρνει εἰς με-
τάνοιαν;

5 Ἀλλὰ κατὰ τὴν σκληρότητά
σου καὶ ἀμετανόητον καρδίαν,
θησαυρίζεις εἰς τοῦ λόγου σου ὀργὴν
εἰς τὴν ἡμέραν τῆς ὀργῆς καὶ ἀπο-
καλύψεως τῆς δικαίας κρίσεως
τοῦ Θεοῦ.

6 Ὁ ὁποῖος θέλει ἀποδώσει
εἰς κάθε ἕνα κατὰ τὰ ἔργα του·

7 Ἐκείνους μὲν ὁποῦ ζητοῦσι
δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν,
μὲ τὴν ὑπομονὴν τῶν καλῶν
ἔργων, θέλει τοὺς δώσει ζωὴν
αἰώνιον·

8 Ἀμὴ εἰς τοὺς φιλονείκους,
καὶ ὁποῦ δὲν ὑπακούουσιν εἰς τὴν
ἀλήθειαν, ἀλλὰ ὑπακούουσιν
εἰς τὴν ἀδικίαν, θέλει εἶναι θυ-
μὸς καὶ ὀργή.

9 Θλίψις (λέγω) καὶ στενο-
χωρία εἰς κάθε ψυχὴν ἀν-
θρώπου ὁποῦ κάμνει τὸ κακὸν,
πρῶτον Ἰουδαίου (εἶτα) καὶ Ἕλ-
ληνος.

10 Ἀμὴ

10 Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

10 Ἀμὴ δόξα καὶ τιμὴ καὶ εἰρήνη θέλει ἀκολουθήσει εἰς κάθε ἕνα ὅπου κάμνει τὸ καλὸν, πρῶτον εἰς Ἰουδαῖον (εἶτα) καὶ εἰς Ἕλληνα.

11 Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ.

11 Διατὶ σιμὰ εἰς τὸν Θεὸν δὲν εἶναι προσωποληψία.

12 Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται,

12 Διατὶ ὅσοι ἁμάρτησαν χωρὶς νόμον, θέλουσι χαλασθῆ χωρὶς νόμον· καὶ ὅσοι ἁμάρτησαν ἔχοντες τὸν νόμον, θέλουσι κριθῆ διὰ μέσου τοῦ νόμου,

13 (Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται.

13 (Διατὶ ἐκεῖνοι ὅπου ἀκούουν τὸν νόμον, δὲν εἶναι δίκαιοι σιμὰ εἰς τὸν Θεὸν, ἀλλὰ ἐκεῖνοι ὅπου κάμνουσιν ἐκεῖνα ὅπου ὁρίζει ὁ νόμος, θέλουσι δικαιωθῆ.

14 Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος·

14 Διατὶ ὅταν τὰ ἔθνη ὅπου δὲν ἔχουσι τὸν νόμον, κάμνουσι φυσικὰ τὰ ἴδια τοῦ νόμου, ἐτοῦτοι ἔσοντας νὰ μὴν ἔχουσι νόμον, εἶναι αὐτοὶ νόμος εἰς τοῦ λόγου τους·

15 Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων,)

15 Οἱ ὁποῖοι δείχνουσι τὸ ἔργον τοῦ νόμου γραπτὸν εἰς ταῖς καρδίαις τους, ἔσοντας νὰ συμμαρτυρῇ καὶ ἡ συνείδησίς τους, καὶ νὰ κατηγοροῦσιν οἱ λογισμοί τους ἕνας τὸν ἄλλον, ἢ καὶ νὰ ἀπολογοῦνται ἀναμεσά τους.)

16 Ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ.

16 Εἰς τὴν ἡμέραν ἐκείνην, εἰς τὴν ὁποίαν ὁ Θεὸς θέλει κρίνει τὰ κρυπτὰ τῶν ἀνθρώπων, διὰ μέσου τοῦ Ἰησοῦ Χριστοῦ, κατὰ τὸ εὐαγγέλιόν μου.

17 Ἴδε, σὺ Ἰουδαῖος ἐπο-

17 Ναὶ, ἐσὺ ὀνομάζεσαι

νομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν Θεῷ,

18 Καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου·

19 Πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει,

20 Παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ.

21 Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις;

22 Ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς;

23 Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις;

24 Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι, καθὼς γέγραπται.

25 Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν.

26 Ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ,

οὐχ

Ἰουδαῖος, καὶ ἀναπαύεσαι εἰς τὸν νόμον, καὶ καυχᾶσαι εἰς τὸν Θεόν.

18 Καὶ γνωρίζεις τὸ θέλημα τοῦ Θεοῦ, καὶ διακρίνεις τὰ διάφορα πράγματα, διδασκόμενος ἀπὸ τὸν νόμον.

19 Καὶ πιστεύεις τοῦ λόγου σου νὰ εἶσαι ὁδηγὸς τῶν τυφλῶν, φῶς ἐκεινῶν ὁποῦ εἶναι εἰς τὸ σκοτάδι,

20 Παιδευτὴς τῶν ἀγνώστων, διδάσκαλος τῶν νηπίων, καὶ νὰ ἔχῃς μόρφωσιν γνώσεως καὶ ἀληθείας εἰς τὸν νόμον.

21 Ἐσὺ λοιπὸν ὁποῦ διδάσκεις ἄλλον, τοῦ λόγου σου δὲν διδάσκεις; ἐσὺ ὁποῦ κηρύττεις νὰ μὴν κλέπτουν, κλέπτεις;

22 Ἐσὺ ὁποῦ λέγεις νὰ μὴν μοιχεύουν, μοιχεύεις; ἐσὺ ὁποῦ σιχαίνεσαι τὰ εἴδωλα, εἶσαι ἱερόσυλος;

23 Ἐσὺ ὁποῦ καυχᾶσαι εἰς τὸν νόμον, ὑβρίζεις τὸν Θεὸν μὲ τὴν παράβασιν τοῦ νόμου;

24 Διατὶ τὸ ὄνομα τοῦ Θεοῦ διὰ ἐσᾶς βλασφημεῖται εἰς τὰ ἔθνη, καθὼς εἶναι γραμμένον.

25 Διατὶ ἡ περιτομὴ ὠφελεῖ μέν, ἐὰν φυλάττῃς τὸν νόμον· ἀμὴ ἂν παραβαίνῃς τὸν νόμον, ἡ περιτομή σου ἔγινεν ἀκροβυστία.

26 Ἐὰν λοιπὸν ἡ ἀκροβυστία φυλάγῃ τὰ δίκαια τοῦ νόμου,

δὲν

οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν λογισθήσεται;

δὲν θέλει λογαριασθῆ ἡ ἀκροβυστία του διὰ περιτομήν;

27 Καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου;

27 Καὶ ἐκείνη ἡ ἀκροβυστία ὁποῦ εἶναι ἀπὸ τὴν φύσιν, ἐὰν τελειώνη τὸν νόμον, δὲν θέλει κατακρίνει ἐσένα, ὁποῦ παραβαίνεις τὸν νόμον μὲ τὸ γράμμα καὶ μὲ τὴν περιτομήν;

28 Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ, Ἰουδαῖός ἐστιν· οὐδὲ ἡ ἐν τῷ φανερῷ, ἐν σαρκὶ, περιτομή·

28 Διατὶ ἐκεῖνος ὁποῦ εἶναι εἰς τὸ φανερὸν Ἰουδαῖος, δὲν εἶναι Ἰουδαῖος· οὐδὲ ἡ περιτομὴ ἡ σαρκικὴ, ὁποῦ εἶναι εἰς τὸ φανερὸν, εἶναι περιτομή·

29 Ἀλλ᾽ ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας, ἐν πνεύματι, οὐ γράμματι· οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ᾽ ἐκ τοῦ Θεοῦ.

29 Ἀλλὰ ἐκεῖνος ὁποῦ εἶναι Ἰουδαῖος εἰς τὸ κρυφὸν (εἶναι Ἰουδαῖος), καὶ περιτομὴ εἶναι ἡ περιτομὴ τῆς καρδίας, ὁποῦ εἶναι εἰς τὸ πνεῦμα, καὶ ὄχι εἰς τὸ γράμμα. τοῦ ὁποίου Ἰουδαίου ὁ ἔπαινος δὲν εἶναι ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ ἀπὸ τὸν Θεόν.

## Κεφ. γ΄. 3.

Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς;

Τί εἶναι λοιπὸν τὸ διάφορον τοῦ Ἰουδαίου παρὰ τὰ ἔθνη; ἢ ποῖα εἶναι ἡ ὠφέλεια τῆς περιτομῆς;

2 Πολὺ, κατὰ πάντα τρόπον. Πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ.

2 Πολὺ εἶναι κατὰ πάντα τρόπον. πρῶτον μὲν, ὅτι οἱ Ἰουδαῖοι ἐπιστεύθηκαν τὰ λόγια τοῦ Θεοῦ.

3 Τί γὰρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει;

3 Καὶ ἂν ἀπίστησαν τινὲς, τί; μήπως ἡ ἀπιστία τους θέλει χαλάσει τὴν πίστιν τοῦ Θεοῦ;

4 Μὴ γένοιτο· γινέσθω δὲ ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης· καθὼς γέγραπται·

4 Μὴ γένοιτο· ἀλλὰ ὁ Θεὸς ἂς εἶναι ἀληθινὸς, καὶ κάθε ἄνθρωπος ἂς εἶναι ψεύστης·

πται· Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

5 Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; (κατὰ ἄνθρωπον λέγω.)

6 Μὴ γένοιτο· ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν κόσμον;

7 Εἰ γὰρ ἡ ἀλήθεια τοῦ Θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι;

8 Καὶ μὴ (καθὼς βλασφημούμεθα, καὶ καθώς φασί τινες ἡμᾶς λέγειν,) ὅτι ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά; ὧν τὸ κρίμα ἔνδικόν ἐστι.

9 Τί οὖν; προεχόμεθα; Οὐ πάντως· προῃτιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι·

10 Καθὼς γέγραπται· Ὅτι οὐκ ἔστι δίκαιος οὐδὲ εἷς·

11 Οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν.

12 Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώ-

καθὼς εἶναι γεγραμμένον· διὰ νὰ δικαιωθῇς εἰς τὰ λόγιά σου, καὶ νὰ νικήσῃς εἰς τὴν κρίσιν σου.

5 Ἀμὴ ἀνίσως καὶ ἡ ἀδικία μας συστήνει τὴν δικαιοσύνην τοῦ Θεοῦ, τί νὰ εἰποῦμεν; μὴ νὰ εἶναι ἄδικος ὁ Θεὸς, ὁποῦ ἐπιφέρει τὴν ὀργήν; ἀνθρωπίνως λαλῶ.

6 Μὴ γένοιτο· διατὶ (ἀλλέως) πῶς θέλει κρίνει ὁ Θεὸς τὸν κόσμον;

7 Διατὶ ἐὰν ἡ ἀλήθεια τοῦ Θεοῦ ἐπερίσσευσεν διὰ τὴν δόξαν του, εἰς τὸ ἐδικόν μου ψέμα, διατί καὶ ἐγὼ κρίνομαι ὡσὰν ἁμαρτωλός;

8 Καὶ ὄχι, καθὼς μᾶς συκοφαντοῦσι, καὶ καθὼς λέγουσι τινὲς νὰ λέγωμεν ἐμεῖς, ὅτι ἂς κάμωμεν τὰ κακὰ, διὰ νὰ ἔλθουν τὰ ἀγαθά; τῶν ὁποίων ἀνθρώπων τὸ κατάκριμα εἶναι δίκαιον.

9 Τί λοιπόν; ἔχομεν τίποτες προτίμησιν; οὐδαμῶς· διατὶ ἐμεῖς προτίτερα ἀποδείξαμεν, ὅτι καὶ Ἰουδαῖοι καὶ Ἕλληνες ὅλοι εἶναι ἀπὸ κάτω εἰς τὴν ἁμαρτίαν·

10 Καθὼς εἶναι γεγραμμένον· ὅτι δὲν εἶναι κανεὶς δίκαιος· δὲν εἶναι οὐδὲ κανείς.

11 Δὲν εἶναι κανένας ὁποῦ γροικᾷ, δὲν εἶναι κανένας ὁποῦ γυρεύει τὸν Θεόν.

12 Ὅλοι ἐπαραστράτησαν

τὴν

ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.

13 Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.

14 Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει·

15 Ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα.

16 Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν.

17 Καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν.

18 Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.

19 Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ.

20 Διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας.

21 Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν.

22 Δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, εἰς πάντας

τας

τὴν ἴσιαν στράταν, ὅλοι ἐγίναν ἄχρηστοι· δὲν εἶναι κανένας ὁποῦ νὰ κάμνῃ καλοσύνην, δὲν εἶναι ἕως ἕνας.

13 Ὁ λάρυγγάς τους εἶναι τάφος ἀνοικτός· καὶ μὲ ταῖς γλώσσαις τους ἔκαμαν δολιότηταις· φαρμάκι τῆς ἀσπίδος εἶναι κρυμμένον εἰς τὰ χείλιά τους.

14 Τῶν ὁποίων τὸ στόμα γέμει ἀπὸ κατάραις καὶ πίκραις.

15 Τὰ ποδάριά τους εἶναι γλήγορα εἰς τὸ νὰ χύσουν αἷμα.

16 Εἰς ταῖς στράταις τους εἶναι χαλασμὸς καὶ ταλαιπωρία.

17 Καὶ τὴν στράταν τῆς εἰρήνης δὲν ἐγνώρισαν.

18 Δὲν εἶναι φόβος Θεοῦ ὀμπροστὰ εἰς τὰ μάτιά τους.

19 Καὶ ἐξεύρομεν ὅτι ὅσα λέγει ὁ νόμος, τὰ λέγει εἰς ἐκείνους ὁποῦ εἶναι ἀπὸ κάτω εἰς τὸν νόμον· διὰ νὰ φραγῇ κάθε στόμα, καὶ ὅλος ὁ κόσμος νὰ γένῃ ὑπόδικος τῷ Θεῷ.

20 Διατὶ ἀπὸ τὰ ἔργα τοῦ νόμου δὲν θέλει δικαιωθῆ καμία σὰρξ ὀμπροστά του· διατὶ διὰ μέσου τοῦ νόμου γνωρίζεται ἡ ἁμαρτία.

21 Καὶ τώρα χωρὶς νόμον ἐφανερώθη ἡ δικαιοσύνη τοῦ Θεοῦ, ὁποῦ μαρτυρεῖται ἀπὸ τὸν νόμον καὶ ἀπὸ τοὺς προφήτας.

22 Ἡ δικαιοσύνη λέγω τοῦ Θεοῦ, ἡ ὁποία εἶναι διὰ μέσου τῆς πίστεως Ἰησοῦ Χριστοῦ, εἰς

τας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας· οὐ γάρ ἐστι διαστολή.

23 Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ·

24 Δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

25 Ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων·

26 Ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ, πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, ἐν τῷ νῦν καιρῷ· εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ.

27 Ποῦ οὖν ἡ καύχησις; ἐξεκλείσθη. Διὰ ποίου νόμου; τῶν ἔργων; Οὐχί· ἀλλὰ διὰ νόμου πίστεως.

28 Λογιζόμεθα οὖν, πίστει δικαιοῦσθαι ἄνθρωπον, χωρὶς ἔργων νόμου.

29 Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν.

30 Ἐπείπερ εἷς ὁ Θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως,

ὅλους καὶ ἀπάνω εἰς ὅλους ἐκείνους ὁποῦ πιστεύουν. διατὶ δὲν εἶναι διαφορά.

23 Διατὶ ὅλοι ἥμαρτον, καὶ στερεύουνται τὴν δόξαν τοῦ Θεοῦ·

24 Ἔσοντας νὰ δικαιώνουνται χάρισμα μὲ τὴν χάριν του, διὰ τῆς ἐξαγοράσεως ὁποῦ εἶναι εἰς τὸν Ἰησοῦν Χριστόν.

25 Τὸν ὁποῖον Χριστὸν ὁ Θεὸς τὸν ἐπροέθεσεν ἱλαστήριον διὰ μέσου τῆς πίστεως εἰς τὸ αἷμά του, εἰς ἔνδειξιν τῆς δικαιοσύνης του, διὰ τὴν ἄφεσιν τῶν ἁμαρτημάτων ὁποῦ ἐγίνηκαν προῦτερα,

26 Εἰς τὴν ὑπομονὴν τοῦ Θεοῦ. διὰ νὰ δείξῃ τὴν δικαιοσύνην του εἰς τοῦτον τὸν καιρόν· διὰ νὰ εἶναι αὐτὸς δίκαιος, καὶ δικαιώνοντας ἐκεῖνον ὁποῦ πιστεύει εἰς τὸν Ἰησοῦν.

27 Ποῦ εἶναι λοιπὸν ἡ καύχησις; ἐσφαλίσθη ἔξω. μὲ ποῖον νόμον; μὲ τὸν νόμον τῶν ἔργων; ὄχι· ἀλλὰ μὲ τὸν νόμον τῆς πίστεως.

28 Συλλογιζόμεσθε λοιπὸν, πῶς μὲ τὴν πίστιν νὰ δικαιώνεται ἄνθρωπος, χωρὶς τῶν ἔργων τοῦ νόμου.

29 Ἢ ὁ Θεὸς μόνον εἶναι Θεὸς τῶν Ἰουδαίων; καὶ ὄχι καὶ τῶν ἐθνῶν; ναὶ καὶ τῶν ἐθνῶν.

30 Ἐπειδὴ ἕνας εἶναι ὁ Θεὸς, ὁ ὁποῖος θέλει δικαιώσει τὴν περιτομὴν ἀπὸ τὴν πίστιν,

καὶ

στεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως.

καὶ τὴν ἀκροβυστίαν διὰ μέσου τῆς πίστεως.

31 Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; Μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν.

31 Λοιπὸν διὰ τὴν πίστιν κάμνομεν ἀργὸν τὸν νόμον; μὴ γένοιτο· ἀλλὰ βεβαιώνομεν τὸν νόμον.

## Κεφ. δ. 4.

Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα;

Τί θέλομεν εἰπεῖ λοιπόν, νὰ εὕρηκεν ὁ Ἀβραὰμ ὁ πατέρας μας κατὰ σάρκα;

2 Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν.

2 Διατὶ ἐὰν ὁ Ἀβραὰμ ἐδικαιώθη ἀπὸ τὰ ἔργα, ἔχει καύχημα, ἀλλὰ δὲν ἔχει καύχημα εἰς τὸν Θεόν.

3 Τί γὰρ ἡ γραφὴ λέγει; Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

3 Διατὶ τί λέγει ἡ γραφή; καὶ ἐπίστευσεν Ἀβραὰμ εἰς τὸν Θεόν, καὶ τοῦ ἐλογαριάσθη εἰς δικαιοσύνην.

4 Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ τὸ ὀφείλημα.

4 Εἰς ἐκεῖνον ὅπου ἐργάζεται, ἡ πληρωμὴ δὲν τοῦ λογαριάζεται διὰ χάριν, ἀλλὰ διὰ χρέος.

5 Τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην.

5 Ἀμὴ ἐκεῖνος ὅπου δὲν ἐργάζεται, καὶ πιστεύει εἰς ἐκεῖνον ὅπου δικαιώνει τὸν ἀσεβῆ, ἡ πίστις του λογαριάζεται εἰς αὐτὸν διὰ δικαιοσύνην.

6 Καθάπερ καὶ Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ Θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων·

6 Καθὼς καὶ ὁ Δαβὶδ προφέρνει μακαρισμὸν τοῦ ἀνθρώπου ἐκείνου, τοῦ ὁποίου ὁ Θεὸς λογαριάζει δικαιοσύνην χωρὶς ἔργα·

7 Μακάριοι ὧν ἀφέθησαν αἱ

7 (Λέγωντας·) μακάριοι εἶναι ἐκεῖνοι τῶν ὁποίων ἐσυγχωρέθηκαν ἡ ἀνομίαις, καὶ ἐκείνων

αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

τῶν ὁποίων ἐσκεπάσθηκαν αἱ ἁμαρτίαις τους.

8 Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν.

8 Μακάριος εἶναι ὁ ἄνθρωπος ἐκεῖνος, τοῦ ὁποίου ὁ Θεὸς δὲν τοῦ λογαριάζει ἁμαρτίαν.

9 Ὁ μακαρισμὸς οὖν οὗτος, ἐπὶ τὴν περιτομὴν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; Λέγομεν γὰρ ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην.

9 Ὁ μακαρισμὸς λοιπὸν ἐτοῦτος, διὰ τὴν περιτομὴν εἶναι μόνον, ἢ καὶ διὰ τὴν ἀκροβυστίαν; διατὶ λέγομεν, ὅτι ἡ πίστις τοῦ Ἀβραὰμ τοῦ ἐλογαριάσθη εἰς δικαιοσύνην.

10 Πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; Οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ.

10 Πῶς λοιπὸν τοῦ ἐλογαριάσθη; ὄντας εἰς τὴν περιτομὴν ἐλογαριάσθη, ἢ ὄντας εἰς τὴν ἀκροβυστίαν; ὄχι εἰς τὴν περιτομὴν, ἀλλὰ εἰς τὴν ἀκροβυστίαν.

11 Καὶ σημεῖον ἔλαβε περιτομῆς, σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ· εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι' ἀκροβυστίας, εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην·

11 Καὶ ἐπῆρε τὸ σημάδι τῆς περιτομῆς, βοῦλαν τῆς δικαιοσύνης τῆς πίστεως, (ἡ ὁποῖα τοῦ ἐλογαριάσθη ὄντας ἀκόμι) εἰς τὴν ἀκροβυστίαν· εἰς τὸ νὰ εἶναι αὐτὸς πατὴρ ὅλονῶν ἐκεινῶν ὅπου πιστεύουσιν (εὑρισκόμενοι) εἰς τὴν ἀκροβυστίαν, διὰ νὰ λογαριασθῇ καὶ εἰς αὐτοὺς ἡ δικαιοσύνη·

12 Καὶ πατέρα περιτομῆς, τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς ἐν τῇ ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς ἡμῶν Ἀβραάμ.

12 Καὶ νὰ εἶναι καὶ πατὴρ τῶν περιτεμνομένων, ἤγουν εἰς ἐκείνους ὅπου ὄχι μόνον ἔχουσι τὴν περιτομὴν, ἀλλὰ καὶ περιπατοῦσιν εἰς τὰ πατήματα τῆς πίστεως τοῦ πατρός μας Ἀβραὰμ, τὴν ὁποίαν πίστιν εἶχεν ὄντας εἰς τὴν ἀκροβυστίαν.

13 Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία

13 Διατὶ ὄχι διὰ μέσου τοῦ νόμου

γελία

νόμου

γελία τῷ Ἀβραάμ, ἢ τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύνης πίστεως.

νόμου ἤτον τὸ τάξιμον εἰς τὸν Ἀβραάμ, ἢ εἰς τὸ σπέρμα του, τὸ νὰ εἶναι αὐτὸς κληρονόμος τοῦ κόσμου, ἀλλὰ διὰ μέσου τῆς δικαιοσύνης τῆς πίστεως.

14 Εἰ γὰρ οἱ ἐκ νόμου, κληρονόμοι, κεκένωται ἡ πίστις, καὶ κατήργηται ἡ ἐπαγγελία·

14 Διατὶ ἐὰν εἶναι κληρονόμοι ἐκεῖνοι ὅπου εἶναι ἀπὸ τὸν νόμον, ἡ πίστις εἶναι ματαία, καὶ τὸ τάξιμον ἔγινεν ἀργόν.

15 Ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται· οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις.

15 Διατὶ ὁ νόμος ὀργὴν κατεργάζεται. Διατὶ ἐκεῖ ὅπου δὲν εἶναι νόμος, οὐδὲ παράβασις εἶναι.

16 Διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν,

16 Διὰ τοῦτο (ἡ κληρονομία εἶναι) ἀπὸ τὴν πίστιν· διὰ νὰ εἶναι κατὰ χάριν, εἰς τὸ νὰ εἶναι βέβαιον τὸ τάξιμον εἰς ὅλον τὸ σπέρμα, ὄχι μοναχὰ εἰς ἐκεῖνο τὸ σπέρμα ὅπου εἶναι ἀπὸ τὸν νόμον, ἀλλὰ καὶ εἰς ἐκεῖνο ὅπου εἶναι ἀπὸ τὴν πίστιν τοῦ Ἀβραάμ, ὁ ὁποῖος Ἀβραὰμ εἶναι πατέρας ὅλονῶν μας,

17 (Καθὼς γέγραπται· Ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε) κατέναντι οὗ ἐπίστευσε, Θεοῦ, τοῦ ζωοποιοῦντος τοὺς νεκρούς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα·

17 (Καθὼς εἶναι γεγραμμένον· ὅτι ἐγὼ σὲ ἔβαλα πατέρα πολλῶν ἐθνῶν) ὀμπροστὰ εἰς τὸν Θεόν, εἰς τὸν ὁποῖον ἐπίστευσεν, ὁ ὁποῖος ζωοποιεῖ τοὺς νεκρούς, καὶ καλεῖ ἐκεῖνα ὅπου δὲν εἶναι, ὡσὰν νὰ εἶναι.

18 Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον· Οὕτως ἔσται τὸ σπέρμα σου.

18 Ὁ ὁποῖος Ἀβραὰμ μὲ ἐλπίδα ἐπίστευσεν ἐκεῖνα ὅπου ξαπερνοῦσι τὴν ἐλπίδα, εἰς τὸ νὰ γένῃ αὐτὸς πατέρας πολλῶν ἐθνῶν, καθὼς τοῦ ἐλαλήθη· ἔτζι θέλει εἶσθαι τὸ σπέρμα σου.

19 Καὶ μὴ ἀσθενήσας τῇ πίστει,

19 Καὶ ἔσοντας νὰ μὴν ἀσθενή-

πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάῤῥας.

ἀθενήσῃ εἰς τὴν πίστιν, δὲν ἔβαλεν εἰς τὸν νοῦν του ὅτι τὸ κορμί του τότε ἦτον νενεκρωμένον, ὅπου ἦτον κοντὰ ἑκατὸν χρονῶν, καὶ πῶς ἐνεκρώθη ἡ μήτρα τῆς Σάῤῥας.

20 Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ·

20 Ἀμὴ εἰς τὸ τάξιμον τοῦ Θεοῦ δὲν ἀμφίβαλε μὲ ἀπιστίαν, ἀλλὰ ἐδυναμώθη μὲ τὴν πίστιν, δίδωντας δόξαν εἰς τὸν Θεόν·

21 Καὶ πληροφορηθεὶς, ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι.

21 Καὶ ἐπειδὴ καὶ ἐπληροφορέθη, ὅτι ἐκεῖνο ὅπου ἔταξεν (ὁ Θεὸς), δύναται καὶ νὰ τὸ κάμῃ·

22 Διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

22 Διὰ τοῦτο του ἐλογαριάσθη ἐτοῦτο εἰς δικαιοσύνην.

23 Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ·

23 Καὶ δὲν ἐγράφθηκε μοναχὰ δι' αὐτὸν, ὅτι ἐλογαριάσθη εἰς αὐτόν·

24 Ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν,

24 Ἀλλὰ (ἐγράφη) καὶ διὰ λόγου μας, εἰς τοὺς ὁποίους μέλλει νὰ τοὺς λογαριασθῇ, ἤγουν ἐκείνους ὅπου πιστεύουσιν εἰς ἐκεῖνον ὅπου ἀνάστησεν Ἰησοῦν τὸν Κύριόν μας ἀπὸ τοὺς νεκρούς·

25 Ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.

25 Ὁ ὁποῖος παρεδόθη διὰ ταῖς ἁμαρτίαις μας, καὶ ἀνεστάθη διὰ τὴν δικαίωσίν μας.

## Κεφ. ε. 5.

Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

Ἔστοντας λοιπὸν νὰ δικαιωθοῦμεν ἀπὸ τὴν πίστιν, ἔχομεν εἰρήνην μὲ τὸν Θεὸν, διὰ μέσου τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

2 Δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν, καὶ καυ-

2 Διὰ μέσου τοῦ ὁποίου ἐλάβαμεν τὴν εἴσοδον διὰ τῆς πίστεως εἰς τὴν χάριν ἐτούτην, εἰς τὴν ὁποίαν

καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ.

ὁποίαν στεκόμεθε, καὶ καυχώμεθεν εἰς τὴν ἐλπίδα τῆς δόξης τοῦ Θεοῦ.

3 Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν· εἰδότες ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται·

3 Καὶ ὄχι μοναχὰ ἐτοῦτο, ἀλλὰ καὶ καυχώμεθεν εἰς ταῖς θλίψαις· ἠξεύροντες, ὅτι ἡ θλίψις κάμνει ὑπομονήν·

4 Ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα·

4 Καὶ ἡ ὑπομονὴ δοκιμήν, καὶ ἡ δοκιμὴ ἐλπίδα·

5 Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν.

5 Καὶ ἡ ἐλπὶς δὲν ἐντροπιάζει, ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ εἶναι χυμένη εἰς ταῖς καρδίαις μας, διὰ μέσου τοῦ ἁγίου Πνεύματος ὁποῦ μᾶς ἐδόθη.

6 Ἔτι γὰρ Χριστὸς ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε.

6 Διατὶ ὅταν ἀκόμι εἴμασθαν ἀσθενεῖς, εἰς διωρισμένον καιρὸν ὁ Χριστὸς ἀπέθανεν διὰ λόγου μας, ὁποῦ εἴμασθαν ἀσεβεῖς.

7 Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν.

7 Διατὶ μετὰ βίας νὰ ἀποθάνῃ κανεὶς διὰ κανένα δίκαιον ἄνθρωπον· (διατὶ διὰ ἕνα καλὸν ἄνθρωπον τάχατες ἀποκοτᾷ κανένας νὰ ἀποθάνῃ.)

8 Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε.

8 Ἀμὴ ὁ Θεὸς συστήνει τὴν ἀγάπην του εἰς ἐμᾶς, ὅτι ἀκόμι ὅταν εἴμασθαν ἁμαρτωλοὶ ὁ Χριστὸς ἀπέθανε ἀντὶς διὰ λόγου μας.

9 Πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς.

9 Πολλὰ περισσότερον λοιπὸν (ἐπειδὴ ἐδικαιωθήκαμεν τώρα εἰς τὸ αἷμά του) θέλομεν σωθῆ διὰ μέσου αὐτουνοῦ ἀπὸ τῆς ὀργῆς.

10 Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου

10 Διατὶ ἐὰν ἐμεῖς ὄντες ἐχθροὶ ἐφιλιωθήκαμεν μὲ τὸν Θεὸν διὰ μέσου τοῦ θανάτου τοῦ

υἱοῦ

νάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ.

11 Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν.

12 Διὰ τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον.

13 Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ· ἁμαρτία δὲ οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου.

14 Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος.

15 Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσε.

16 Καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος, τὸ δώρημα· τὸ μὲν

γὰρ

γοῦ του, πολλὰ περισσότερον ὄντες φιλιωμένοι, θέλομεν σωθῆ εἰς τὴν ζωήν του.

11 Καὶ ὄχι μόνον τοῦτο, ἀλλὰ καὶ καυχώμεσθεν εἰς τὸν Θεὸν, διὰ μέσου τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διὰ μέσου τοῦ ὁποίου τώρα ἀποκτήσαμεν τὴν φιλίωσιν.

12 Διὰ τοῦτο καθὼς διὰ μέσου ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία ἦλθεν εἰς τὸν κόσμον, καὶ διὰ μέσου τῆς ἁμαρτίας ἦλθεν ὁ θάνατος, ἔτζι ὁ θάνατος ἐπέρασεν εἰς ὅλους τοὺς ἀνθρώπους· καθ' ὅσον ὅλοι ἥμαρτον.

13 Διατὶ ἕως εἰς τὸν καιρὸν τοῦ νόμου, ἦτον ἁμαρτία εἰς τὸν κόσμον· ἀμὴ ἁμαρτία δὲν μετρᾶται, μὴ ὄντας νόμος.

14 Ἀλλὰ ὁ θάνατος ἐβασίλευσεν ἀπὸ τοῦ Ἀδὰμ ἕως τὸν καιρὸν τοῦ Μωϋσέως, καὶ εἰς ἐκείνους ὁποῦ δὲν ἁμάρτησαν κατὰ τὴν ὁμοιότητα τῆς παραβάσεως τοῦ Ἀδὰμ, ὁ ὁποῖος Ἀδὰμ εἶναι τύπος τοῦ μέλλοντος.

15 Ἀλλὰ ὄχι ὡσὰν τὸ σφάλμα, ἔτζι εἶναι καὶ τὸ χάρισμα· διατὶ ἐὰν εἰς τὸ σφάλμα τοῦ ἑνὸς ἀπέθαναν οἱ πολλοὶ, πολλὰ περισσότερον ἐπερίσσευσεν ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ διὰ τὴν χάριν τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλούς.

16 Καὶ τὸ χάρισμα δὲν εἶναι ὡσὰν ἐκεῖνο ὁποῦ ἦλθεν διὰ

μέσου

γὰρ κρῖμα ἐξ ἑνὸς εἰς κατάκρι-
μα· τὸ δὲ χάρισμα ἐκ πολλῶν
παραπτωμάτων εἰς δικαίω-
μα.

μέσου τοῦ ἑνὸς ἀνθρώπου ὅπου
ἁμάρτησε· διατὶ τὸ κρῖμα
ἀπὸ ἕνα εἶναι εἰς κατάκριμα·
ἀμὴ τὸ χάρισμα εἶναι εἰς δι-
καίωσιν ἀπὸ πολλῶν σφαλμά-
των.

17 Εἰ γὰρ τῷ τοῦ ἑνὸς παρα-
πτώματι ὁ θάνατος ἐβασίλευ-
σε διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον
οἱ τὴν περισσείαν τῆς χάριτος
καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης
λαμβάνοντες, ἐν ζωῇ βασιλεύ-
σουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ.

17 Διατὶ ἐὰν μὲ τὸ σφάλ-
μα τοῦ ἑνὸς ἀνθρώπου ἐβασίλευ-
σεν ὁ θάνατος διὰ μέσου ἐκεί-
νου τοῦ ἑνός, πολλὰ περισσότερον
ἐκεῖνοι ὅπου παίρνουσι τὸ πλοῦτον
τῆς δικαιοσύνης, θέλουσι βασι-
λεύσει εἰς τὴν ζωὴν διὰ τοῦ ἑνὸς
Ἰησοῦ Χριστοῦ.

18 Ἄρα οὖν ὡς δι' ἑνὸς πα-
ραπτώματος, εἰς πάντας ἀν-
θρώπους, εἰς κατάκριμα· οὕτω
καὶ δι' ἑνὸς δικαιώματος, εἰς
πάντας ἀνθρώπους, εἰς δικαί-
ωσιν ζωῆς.

18 Καθὼς λοιπὸν διὰ μέσου
ἑνὸς σφάλματος, ἦλθε τὸ
κρῖμα εἰς ὅλους τοὺς ἀνθρώπους
εἰς κατάκριμα· ἔτζι καὶ διὰ
μέσου ἑνὸς δικαιώματος, ἦλ-
θεν τὸ χάρισμα εἰς ὅλους τοὺς
ἀνθρώπους εἰς δικαίωσιν ζωῆς.

19 Ὥσπερ γὰρ διὰ τῆς παρα-
κοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρ-
τωλοὶ κατεστάθησαν οἱ πολλοί,
οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς
δίκαιοι κατασταθήσονται οἱ πολ-
λοί.

19 Καὶ καθὼς διὰ μέσου τῆς
παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου
οἱ πολλοὶ κατεστάθηκαν ἁμαρ-
τωλοί, ἔτζι καὶ διὰ μέσου τῆς
ὑπακοῆς τοῦ ἑνὸς ἀνθρώπου θέ-
λουσι καταστάθῃ οἱ πολλοὶ δί-
καιοι.

20 Νόμος δὲ παρεισῆλθεν
ἵνα πλεονάσῃ τὸ παράπτωμα.
οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία,
ὑπερεπερίσσευσεν ἡ χάρις·

20 Καὶ νόμος ἐμβῆκε, διὰ
νὰ πλεονάσῃ ἡ ἁμαρτία· ἀμὴ
ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία,
ἐπερίσσευσεν ἡ χάρις παρα-
πάνω.

21 Ἵνα ὥσπερ ἐβασίλευσεν ἡ
ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω
καὶ ἡ χάρις βασιλεύσῃ διὰ δι-
καιο-

21 Διὰ νὰ βασιλεύσῃ καὶ ἡ
χάρις διὰ μέσου τῆς δικαιοσύνης
εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ
Χριστοῦ

καιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Χριστοῦ τοῦ Κυρίου μας, ὡς καθὼς ἐβασίλευσεν καὶ ἡ ἁμαρτία εἰς τὸν θάνατον.

## Κεφ. ϛ'. 6.

Τί οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ;

Τί θέλομεν εἰπεῖ λοιπόν; νὰ στεκόμεσθεν εἰς τὴν ἁμαρτίαν, διὰ νὰ πλεονάσῃ ἡ χάρις;

2 Μὴ γένοιτο· οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;

2 Μὴ γένοιτο. ἡμεῖς ὅπου ἀπεθάναμεν κατὰ τὴν ἁμαρτίαν, πῶς θέλομεν ζήσει πλέον μέσα εἰς αὐτήν;

3 Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν;

3 Ἢ δὲν ἰξεύρετε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς τὸν Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατόν του ἐβαπτίσθημεν;

4 Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.

4 Διὰ μέσου τοῦ βαπτίσματος λοιπὸν ἐθαπτήκαμεν μαζὶ μετ' αὐτὸν εἰς τὸν θάνατον· διὰ νὰ περιπατήσωμεν καὶ ἡμεῖς εἰς καινούργιαν ζωήν, καθὼς ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν, διὰ μέσου τῆς δόξης τοῦ πατρός.

5 Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.

5 Διατὶ ἐὰν ἐνεκεντρίσθημεν μὲ τὸν Χριστὸν εἰς τὸ ὁμοίωμα τοῦ θανάτου του, θέλομεν (ἐγκεντρισθῆ) καὶ εἰς τὸ ὁμοίωμα τῆς ἀναστάσεώς του.

6 Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ.

6 Γνωρίζοντες τοῦτο, ὅτι ὁ παλαιός μας ἄνθρωπος ἐσταυρώθη μαζὶ μὲ τὸν Χριστόν, διὰ νὰ χαλασθῇ τὸ σῶμα τῆς ἁμαρτίας, νὰ μὴν δουλεύωμεν ἐμεῖς πλέον τὴν ἁμαρτίαν.

7 Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας.

7 Διατὶ ἐκεῖνος ὅπου ἀπέθανεν, ἐλευθερώθη ἀπὸ τὴν ἁμαρτίαν.

8 Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ·

9 Εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύει.

10 Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ.

11 Οὕτω καὶ ὑμεῖς λογίζεσθε, ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ·

13 Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ· ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ.

14 Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ᾽ ὑπὸ χάριν.

15 Τί οὖν; ἁμαρτήσομεν, ὅτι

8 Καὶ ἐὰν ἀποθάνωμεν μὲ τὸν Χριστὸν, πιστεύομεν ὅτι καὶ θέλομεν ζήσει μαζὺ μετ᾽ αὐτόν·

9 Ἔσοντας νὰ ἠξεύρωμεν, ὅτι ἐπειδὴ ὁ Χριστὸς ἀνεστάθη ἐκ νεκρῶν, δὲν ἀποθνήσκει πλέον· ὁ θάνατος αὐτὸν πλέον δὲν τὸν αὐθεντεύει.

10 Διατὶ καθ᾽ ὃ ἀπέθανεν (ὁ Χριστὸς), ἀπέθανε διὰ τὴν ἁμαρτίαν, μίαν φοράν· ἀμὴ καθ᾽ ὃ ζῇ, ζῇ εἰς τὸν Θεόν.

11 Τέτοιας λογῆς καὶ ἐσεῖς, λογαριάζετε τοὺς λόγους σας νὰ εἶσθε νεκροὶ ὅσον εἰς τὴν ἁμαρτίαν, καὶ νὰ ζῆτε εἰς τὸν Θεὸν, διὰ μέσου τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

12 Ἂς μὴν βασιλεύῃ λοιπὸν ἡ ἁμαρτία εἰς τὸ θνητόν σας κορμὶ, εἰς τὸ νὰ ὑπακούετε τὴν ἁμαρτίαν εἰς ταῖς ἐπιθυμίαις τοῦ κορμίου·

13 Μὴ δὲ νὰ παραστήνετε τὰ μέλη σας ἄρματα τῆς ἀδικίας εἰς τὴν ἁμαρτίαν· ἀλλὰ παραστήσατε τοὺς λόγους σας εἰς τὸν Θεὸν, ὡσὰν ὁποῦ ἐγινήκετε ἀπὸ νεκροὺς ζωντανοὶ, καὶ τὰ μέλη σας ἄρματα δικαιοσύνης εἰς τὸν Θεόν.

14 Διατὶ ἡ ἁμαρτία δὲν θέλει σᾶς βασιλεύσει· ἐπειδὴ δὲν εἶσθε ἀπὸ κάτω εἰς τὸν νόμον, ἀλλ᾽ ἀποκάτω εἰς τὴν χάριν.

15 Τί λοιπόν; νὰ ἁμαρτήσωμεν, διατὶ δὲν εἴμεσθεν ἀπὸ

κάτω

ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; Μὴ γένοιτο.

16 Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην;

17 Χάρις δὲ τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς.

18 Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ.

19 Ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.

20 Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ.

21 Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων, θάνατος.

22 Νυνὶ δὲ ἐλευθερωθέντες

ἀπὸ

κάτω εἰς τὸν νόμον, ἀλλὰ εἰς τὴν χάριν; μὴ γένοιτο.

16 Δὲν ἰξεύρετε ὅτι εἰς ἐκεῖνον ὁποῦ παραστένετε τοῦ λόγου σας δούλους εἰς τὴν ὑπακοήν του, εἶσθε δοῦλοι ἐκείνου ὁποῦ ὑπακούετε; ἢ τῆς ἁμαρτίας εἰς τὸν θάνατον, ἢ τῆς ὑπακοῆς εἰς τὴν δικαιοσύνην;

17 Ἀλλὰ δόξα σοι ὁ Θεός, ὅτι ἐσεῖς μὲν ἤσθαν δοῦλοι τῆς ἁμαρτίας, ἀμὴ ὑπακούσετε ἀπὸ καρδίας τὸν τύπον τῆς διδαχῆς, εἰς τὸν ὁποῖον ἐπαραδόθητε.

18 Καὶ ἔσοντας νὰ ἐλευθερωθήκετε ἀπὸ τὴν ἁμαρτίαν, ἐδουλωθήκετε εἰς τὴν δικαιοσύνην.

19 Ἀνθρωπίνως λαλῶ, διὰ τὴν ἀσθένειαν τῆς σαρκός σας. καθὼς λοιπὸν ἐπαραστήσετε τὰ μέλη σας δούλους τῆς ἀκαθαρσίας καὶ τῆς ἀνομίας εἰς τὸ νὰ κάμνετε ἀνομίαν· ἔτζι τώρα παραστήσετε τὰ μέλη σας δούλους τῆς δικαιοσύνης εἰς ἁγιασμόν.

20 Διατὶ ὅταν ἤσθαν δοῦλοι τῆς ἁμαρτίας, ἤσθαν ἐλεύθεροι ἀπὸ τὴν δικαιοσύνην.

21 Ποῖον λοιπὸν καρπὸν εἴχετε τότε εἰς ἐκεῖνα τὰ πράγματα, εἰς τὰ ὁποῖα τώρα ἐντρέπεσθε; διατὶ τὸ τέλος ἐκείνων τῶν πραγμάτων εἶναι θάνατος.

22 Ἀμὴ τώρα ἔσοντας νὰ

ἐλευ-

ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος, ζωὴν αἰώνιον.

ἐλευθερωθήκετε ἀπὸ τὴν ἁμαρτίαν, καὶ νὰ δουλωθῆτε εἰς τὸν Θεόν, ἔχετε τὸν καρπόν σας εἰς ἁγιασμόν, καὶ τὸ τέλος (ἔχετε) ζωὴν αἰώνιον.

23 Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας, θάνατος· τὸ δὲ χάρισμα τοῦ Θεοῦ, ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

23 Διατὶ ἡ πληρωμὴ τῆς ἁμαρτίας εἶναι θάνατος· ἀμὴ τὸ χάρισμα τοῦ Θεοῦ, εἶναι ζωὴ αἰώνιος εἰς Χριστὸν Ἰησοῦν τὸν Κύριόν μας.

## Κεφ. ζ. 7.

Ἢ ἀγνοεῖτε ἀδελφοὶ (γινώσκουσι γὰρ νόμον λαλῶ) ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ;

Ἢ Δὲν ἠξεύρετε, ἀδελφοί, (διατὶ ἐγὼ λαλῶ εἰς ἐκείνους ὁποῦ γνωρίζουσιν νόμον) ὅτι ὁ νόμος κυριεύει τὸν ἄνθρωπον εἰς ὅσον χρόνον ζῇ;

2 Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός.

2 Διατὶ ἡ γυναῖκα ἡ ὑπανδρεμένη, εἶναι δεμένη εἰς τὸν νόμον τοῦ ἀνδρὸς, ὅσον χρόνον αὐτὸς ζῇ· ἀμὴ ἂν ἀποθάνῃ ὁ ἄνδρας της, ἐλευθερώθη ἡ γυναῖκα ἀπὸ τὸν νόμον τοῦ ἀνδρός.

3 Ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου· τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ.

3 Ζῶντος λοιπὸν τοῦ ἀνδρός της, ἐὰν σμιχθῇ μὲ ἄλλον ἄνδρα, γίνεται μοιχαλίς· ἀμὴ ἂν ἀποθάνῃ ὁ ἄνδρας της, εἶναι ἐλευθέρη ἀπὸ τὸν νόμον, διὰ νὰ μὴν εἶναι μοιχαλίδα, ἂν ὑπανδρευθῇ ἄλλον ἄνδρα.

4 Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ· εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερ-

4 Εἰς τόσον ὁποῦ καὶ ἐσεῖς, ἀδελφοί μου, ἀπεθάνετε ἀπὸ τὸν νόμον διὰ μέσου τοῦ σώματος τοῦ Χριστοῦ· διὰ νὰ ὑπανδρευθῆτε ἐσεῖς ἄλλον ἄνδρα, ἤγουν ἐκεῖ-

γερθέντι, ἵνα καρποφορήσωμεν τῷ Θεῷ.

5 Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ·

6 Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντος ἐν ᾧ κατειχόμεθα· ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος.

7 Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου. τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν· Οὐκ ἐπιθυμήσεις.

8 Ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία, διὰ τῆς ἐντολῆς, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν· χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά·

9 Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ· ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν·

10 Ἐγὼ δὲ ἀπέθανον· καὶ

εὑρέθη

ἐκεῖνον ὁ ὁποῖος ἀνέστη ἐκ νεκρῶν, διὰ νὰ κάμωμεν καρποὺς τῷ Θεῷ.

5 Διατὶ ὅταν ἤμασθαν εἰς τὴν σάρκα, ἐνεργοῦσαν τὰ παθήματα τῶν ἁμαρτιῶν, ὅπου ἦταν διὰ τοῦ νόμου, εἰς τὰ μέλη μας, κάμνοντες καρπὸν θανατηφόρον·

6 Ἀμὴ τώρα ἐλευθερωθήκαμεν ἀπὸ τὸν νόμον, ἔσοντας καὶ νὰ ἀποθάνῃ ἐκεῖνο ἀπὸ τὸ ὁποῖον ἐκρατούμεσθαν· διὰ νὰ δουλεύωμεν εἰς καινουργότητα πνεύματος, καὶ ὄχι εἰς τὴν παλαιότητα τοῦ γράμματος.

7 Λοιπὸν τί θέλομεν εἰπεῖ; ὁ νόμος εἶναι ἁμαρτία; μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν δὲν τὴν ἐγνώρισα, παρὰ διὰ μέσου τοῦ νόμου. διατὶ καὶ τὴν ἐπιθυμίαν δὲν τὴν ἴξευρα, νὰ εἶναι ἁμαρτία, ἂν δὲν ἔλεγεν ὁ νόμος· νὰ μὴν ἐπιθυμήσῃς.

8 Ἀλλὰ ἡ ἁμαρτία ἔσωντας νὰ πάρῃ ἀφορμὴν διὰ μέσου τῆς ἐντολῆς, ἔκαμεν εἰς ἐμένα κάθε λογῆς ἐπιθυμίαν· διατὶ χωρὶς τὸν νόμον ἡ ἁμαρτία ἦτον νεκρή.

9 Καὶ ἐγὼ ἕνα καιρὸν χωρὶς τὸν νόμον ἔζουν· ἀλλὰ ὥσταν ἦλθεν ἡ ἐντολὴ, ἡ ἁμαρτία ἀνέζησε·

10 Καὶ ἐγὼ ἀπέθανα· καὶ

ἡ

εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον.

ἡ ἐντολὴ (ὁποῦ ἐδόθη) εἰς ζωήν, αὐτή μου εὑρέθη εἰς θάνατον.

11 Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέ με, καὶ δι᾿ αὐτῆς ἀπέκτεινεν.

11 Διατὶ ἡ ἁμαρτία ἔσοντας νὰ πάρῃ ἀφορμὴν διὰ τῆς ἐντολῆς, μὲ ἀπάτησε, καὶ διὰ μέσου αὐτῆς μὲ ἐθανάτωσεν.

12 Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

12 Λοιπὸν ὁ μὲν νόμος εἶναι ἅγιος, καὶ ἡ ἐντολὴ εἶναι ἁγία καὶ δικαία καὶ ἀγαθή.

13 Τὸ οὖν ἀγαθὸν, ἐμοὶ γέγονε θάνατος; Μὴ γένοιτο· ἀλλὰ ἡ ἁμαρτία· ἵνα φανῇ ἁμαρτία διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ᾿ ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.

13 Τὸ ἀγαθὸν λοιπον, εἰς ἐμένα ἔγινε θάνατος; μὴ γένοιτο· ἀλλὰ ἡ ἁμαρτία εἰς ἐμένα ἔγινε θάνατος· διὰ νὰ φανῇ πῶς εἶναι ἁμαρτία, κάμνουσα θάνατον εἰς ἐμένα, διὰ μέσου τοῦ ἀγαθοῦ, διὰ νὰ γένῃ κατὰ πολλὰ ἁμαρτωλὸς ἡ ἁμαρτία, διὰ μέσου τῆς ἐντολῆς.

14 Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.

14 Διατὶ ἠξεύρομεν, ὅτι ὁ νόμος εἶναι πνευματικὸς, ἀμὴ ἐγὼ εἶμαι σαρκικὸς, πουλημένος ἀποκάτω εἰς τὴν ἁμαρτίαν.

15 Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ᾿ ὃ μισῶ, τοῦτο ποιῶ.

15 Διατὶ ἐκεῖνο ὁποῦ κάμνω, δὲν τὸ γνώσκω· διατὶ δὲν κάμνω ἐκεῖνο ὁποῦ θέλω, ἀλλὰ κάμνω ἐκεῖνο ὁποῦ μισῶ.

16 Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός.

16 Καὶ ἐὰν κάμνω ἐκεῖνο, τὸ ὁποῖον δὲν θέλω, συμφωνῶ μὲ τὸν νόμον, ὅτι εἶναι καλός.

17 Νυνὶ δὲ οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ᾿ ἡ οἰκοῦσα

17 Καὶ τώρα πλέον δὲν τὸ κάμνω ἐγὼ ἐκεῖνο, ἀλλὰ ἡ ἁμαρ-

οὖσα ἐν ἐμοὶ ἁμαρτία.

18 Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν
ἐμοὶ (τουτέστιν ἐν τῇ σαρκί μου)
ἀγαθόν· τὸ γὰρ θέλειν παράκει-
ταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ
καλὸν, οὐχ εὑρίσκω.

19 Οὐ γὰρ ὃ θέλω, ποιῶ ἀ-
γαθόν· ἀλλ' ὃ οὐ θέλω κακὸν,
τοῦτο πράσσω.

20 Εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο
ποιῶ, οὐκ ἔτι ἐγὼ κατεργάζο-
μαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐ-
μοὶ ἁμαρτία.

21 Εὑρίσκω ἄρα τὸν νόμον
τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ κα-
λὸν, ὅτι ἐμοὶ τὸ κακὸν παρά-
κειται.

22 Συνήδομαι γὰρ τῷ νόμῳ
τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄν-
θρωπον·

23 Βλέπω δὲ ἕτερον νόμον ἐν
τοῖς μέλεσί μου ἀντιστρατευό-
μενον τῷ νόμῳ τοῦ νοός μου, καὶ
αἰχμαλωτίζοντά με τῷ νόμῳ
τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέ-
λεσί μου.

24 Ταλαίπωρος ἐγὼ ἄνθρω-
πος· τίς με ῥύσεται ἐκ τοῦ σώμα-
τος τοῦ θανάτου τούτου;

25 Εὐχαριστῶ τῷ Θεῷ διὰ
Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.
Ἄρα

μαρτία ὁποῦ κατοικᾶ εἰς ἐμένα
(τὸ κάμνει).

18 Διατὶ ἠξεύρω ὅτι δὲν
κατοικᾶ εἰς ἐμένα, ἤγουν εἰς
τὴν σάρκα μου, τίποτες ἀγα-
θόν· διατὶ τὸ θέλειν ἔχω, ἀμὴ
νὰ κάμω τὸ καλὸν, δὲν ἠμ-
πορῶ.

19 Διατὶ ἐγὼ δὲν κάμνω
τὸ καλὸν ὁποῦ θέλω, ἀλλὰ τὸ
κακὸν ὁποῦ δὲν θέλω, ἐκεῖνο κά-
μνω.

20 Καὶ ἐὰν ἐγὼ κάμνω ἐκεῖ-
νο, τὸ ὁποῖον δὲν θέλω, πλέον
δὲν τὸ κάμνω ἐγὼ ἐκεῖνο, ἀλ-
λὰ ἡ ἁμαρτία ὁποῦ κατοικᾶ εἰς
ἐμένα.

21 Εὑρίσκω λοιπὸν τὸν νόμον
εἰς τοῦ λόγου μου, ὅταν θέλω νὰ
κάμω τὸ καλὸν, ὅτι εὑρίσκεται
εἰς ἐμπρὸς κακόν.

22 Διατὶ συγχαίρω εἰς τὸν
νόμον τοῦ Θεοῦ κατὰ τὸν μέσα ἄν-
θρωπον·

23 Ἀλλὰ βλέπω ἄλλον νό-
μον εἰς τὰ μέλη μου, ὁποῦ ἀντι-
στρατεύεται εἰς τὸν νόμον τοῦ νο-
ός μου, καὶ ὁποῦ μὲ σκλαβώ-
νει εἰς τὸν νόμον τῆς ἁμαρτίας,
ὁ ὁποῖος εἶναι μέσα εἰς τὰ
μέλη μου.

24 Ταλαίπωρος ἄνθρω-
πος ἐγώ· ποῖος θέλει μὲ ἐλευ-
θερώσει ἀπὸ τὸ σῶμα ἐτοῦτο τοῦ
θανάτου;

25 Εὐχαριστῶ τῷ Θεῷ διὰ
Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας. λοι-
πὸν

Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ· τῇ δὲ σαρκὶ, νόμῳ ἁμαρτίας.

πὸν αὐτὸς ἐγὼ μὲ τὸν νοῦν δουλεύω τὸν νόμον τοῦ Θεοῦ, ἀμὴ μὲ τὴν σάρκα, τὸν νόμον τῆς ἁμαρτίας.

## Κεφ. η΄. 8.

Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

Τώρα λοιπὸν δὲν εἶναι κανένα κατάκριμα εἰς ἐκείνους ὁποῦ εἶναι εἰς τὸν Χριστὸν Ἰησοῦν, καὶ δὲν περιπατοῦσι κατὰ τὴν σάρκα, ἀλλὰ κατὰ τὸ πνεῦμα.

2 Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ, ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

2 Διατὶ ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς, ὁποῦ εἶναι εἰς τὸν Χριστὸν Ἰησοῦν, μὲ ἐλευθέρωσεν ἀπὸ τὸν νόμον τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

3 Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί·

3 Διατὶ ἐκεῖνο ὁποῦ δὲν ἐδύνετον νὰ κάμῃ ὁ νόμος, εἰς τὸ ὁποῖον ἦτον ἀσθενὴς εἰς τὴν σάρκα, ὁ Θεὸς πέμπωντας τὸν υἱόν του, μὲ ὁμοίωμα σάρκας ἁμαρτωλῆς, καὶ διὰ τὴν ἁμαρτίαν, ἐκατάκρινε τὴν ἁμαρτίαν εἰς τὴν σάρκα·

4 Ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

4 Διὰ νὰ πληρωθῇ τὸ δικαίωμα τοῦ νόμου εἰς ἐμᾶς, ὁποῦ δὲν περιπατοῦμεν κατὰ τὴν σάρκα, ἀλλὰ κατὰ τὸ πνεῦμα.

5 Οἱ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσιν· οἱ δὲ κατὰ πνεῦμα, τὰ τοῦ πνεύματος.

5 Διατὶ ἐκεῖνοι ὁποῦ εἶναι κατὰ τὴν σάρκα, φρονοῦσι τὰ πράγματα τῆς σαρκός· καὶ ἐκεῖνοι ὁποῦ εἶναι κατὰ τὸ πνεῦμα, φρονοῦσι τὰ πράγματα τοῦ πνεύματος.

6 Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, θάνατος· τὸ δὲ φρόνημα

6 Διατὶ τὸ φρόνημα τῆς σαρκὸς, εἶναι θάνατος· ἀμὴ τὸ

νημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη.

φρόνημα τοῦ πνεύματος, εἶναι ζωὴ καὶ εἰρήνη.

7 Διότι τὸ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται.

7 Διατὶ τὸ φρόνημα τῆς σαρκὸς, εἶναι ἔχθρα εἰς τὸν Θεόν. διατὶ δὲν ὑποτάσσεται εἰς τὸν νόμον τοῦ Θεοῦ· ἐπειδὴ οὐδὲ δύναται.

8 Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται.

8 Καὶ ἐκεῖνοι ὁποῦ εἶναι εἰς τὴν σάρκα, δὲν ἠμποροῦσι νὰ ἀρέσουσι τοῦ Θεοῦ.

9 Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.

9 Ἀμὴ ἐσεῖς δὲν εἶσθε σαρκικοὶ, ἀλλὰ πνευματικοὶ, ἐὰν τὸ πνεῦμα τοῦ Θεοῦ κατοικᾷ εἰς ἐσᾶς. ἀμὴ ἐὰν τινὰς δὲν ἔχῃ πνεῦμα Χριστοῦ, ἐτοῦτος δὲν εἶναι τοῦ Χριστοῦ.

10 Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν· τὸ δὲ πνεῦμα, ζωὴ διὰ δικαιοσύνην.

10 Καὶ ἐὰν ὁ Χριστὸς εἶναι εἰς ἐσᾶς, τὸ μὲν κορμὶ εἶναι νεκρὸν, διὰ τὴν ἁμαρτίαν· ἀμὴ τὸ πνεῦμα εἶναι ζωὴ διὰ τὴν δικαιοσύνην.

11 Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν.

11 Ἀμὴ καὶ ἀνίσως τὸ πνεῦμα ἐκείνου ὁποῦ ἀνάστησε τὸν Ἰησοῦν ἐκ νεκρῶν κατοικᾷ εἰς ἐσᾶς, ἐκεῖνος ὁποῦ ἀνάστησε τὸν Χριστὸν ἐκ νεκρῶν, θέλει ζωοποιήσει καὶ τὰ θνητά σας κορμία, διὰ μέσου τοῦ πνεύματός του ὁποῦ κατοικᾷ εἰς ἐσᾶς.

12 Ἄρα οὖν, ἀδελφοὶ, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ, τοῦ κατὰ σάρκα ζῆν.

12 Λοιπὸν, ἀδελφοὶ, χρεῶσται εἴμεσθεν ἡμεῖς, ὄχι εἰς τὴν σάρκα, νὰ ζοῦμεν σαρκικῶς.

13 Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώ-

13 Διατὶ ἂν ζῆτε σαρκικῶς, μέλλετε νὰ ἀποθάνετε· ἀμὴ ἐὰν θανατώνετε ταῖς πράξαις τοῦ

σώματος θανατοῦτε, ζήσεσθε.

14 Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ.

15 Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ πατήρ.

16 Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα Θεοῦ.

17 Εἰ δὲ τέκνα, καὶ κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ· εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.

18 Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

19 Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται.

20 Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα·

21 Ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν

τῆς

τοῦ κορμίου μὲ τὸ πνεῦμα, θέλετε ζήσει.

14 Διατὶ ὅσοι (ἄνθρωποι) κυβερνῶνται μὲ τὸ πνεῦμα τοῦ Θεοῦ, ἐτοῦτοι εἶναι υἱοὶ Θεοῦ.

15 Διατὶ δὲν ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλὰ ἐλάβετε πνεῦμα τῆς υἱοθεσίας, μὲ τὸ ὁποῖον κράζομεν, Ἀββᾶ, ὁ πατήρ.

16 Αὐτὸ τὸ πνεῦμα, εἰς τὸ πνεῦμά μας συμμαρτυρεῖ, ὅτι εἴμεσθε τέκνα τοῦ Θεοῦ.

17 Καὶ ἐὰν εἴμεσθε τέκνα, εἴμεσθε καὶ κληρονόμοι· κληρονόμοι μὲν τοῦ Θεοῦ, καὶ συγκληρονόμοι τοῦ Χριστοῦ, ἐὰν πάσχομεν μαζὺ (μὲ τὸν Χριστὸν) διὰ νὰ δοξασθοῦμεν μαζὺ μετ' αὐτόν.

18 Διατὶ λογαριάζω ὅτι τὰ παθήματα ἐτούτου τοῦ καιροῦ δὲν εἶναι ἄξια εἰς τὴν δόξαν ὁποῦ μέλλει νὰ ἀποκαλυφθῇ εἰς ἐμᾶς.

19 Διατὶ ἡ κτίσις ἀπαντέχει, ἐλπίζουσα τὴν φανέρωσιν τῶν υἱῶν τοῦ Θεοῦ.

20 Διατὶ ἡ κτίσις ὑποτάχθη εἰς τὴν ματαιότητα, ὄχι θεληματική, ἀλλὰ διὰ ἐκεῖνον ὁποῦ τὴν ὑπόταξεν (εἰς τὴν ματαιότητα ἐτούτην)·

21 Μὲ ἐλπίδα, ὅτι καὶ αὐτὴ ἡ κτίσις θέλει ἐλευθερωθῆ ἀπὸ τὴν σκλαβίαν τῆς φθορᾶς, εἰς



τὴν

τῆς δόξης τῶν τέκνων τοῦ
Θεοῦ.
22 Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ
κτίσις συστενάζει καὶ συνωδίνει
ἄχρι τοῦ νῦν.
23 Οὐ μόνον δὲ, ἀλλὰ καὶ
αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύμα-
τος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ
ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν
ἀπεκδεχόμενοι τὴν ἀπολύτρω-
σιν τοῦ σώματος ἡμῶν.
24 Τῇ γὰρ ἐλπίδι ἐσώθημεν.
ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν
ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ
ἐλπίζει;
25 Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλ-
πίζομεν, δι' ὑπομονῆς ἀπεκδε-
χόμεθα.
26 Ὡσαύτως δὲ καὶ τὸ
πνεῦμα συναντιλαμβάνεται
ταῖς ἀσθενείαις ἡμῶν· τὸ γὰρ τί
προσευξώμεθα καθὸ δεῖ, οὐκ
οἴδαμεν, ἀλλ' αὐτὸ τὸ πνεῦμα
ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν
στεναγμοῖς ἀλαλήτοις.
27 Ὁ δὲ ἐρευνῶν τὰς καρδί-
ας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύ-
ματος, ὅτι κατὰ Θεὸν ἐντυγ-
χάνει ὑπὲρ ἁγίων.
28 Οἴδαμεν δὲ ὅτι τοῖς ἀγα-
πῶσι τὸν Θεὸν, πάντα συνεργεῖ
εἰς

τὴν ἐλευθερίαν τῆς δόξης τῶν
υἱῶν τοῦ Θεοῦ.
22 Διατὶ ἠξεύρομεν ὅτι ὅλη
ἡ κτίσις ἀναστενάζει μαζὺ καὶ
συμπονεῖ ἕως τώρα.
23 Καὶ ὄχι μόνον ἡ κτίσις,
ἀλλὰ καὶ αὐτοὶ ἐμεῖς, ἔσοντας νὰ
ἔχωμεν τὴν ἀπαρχὴν τοῦ πνεύ-
ματος, καὶ ἐμεῖς αὐτοὶ (λέ-
γω) ἀναστενάζομεν μέσα μας,
ἀπαντεχένοντες υἱοθεσίαν, ἤ-
γουν τὴν ἐλευθέρωσιν τοῦ κορμίου
μας.
24 Διατὶ ἐμεῖς μὲ τὴν ἐλ-
πίδα ἐσώθημεν. καὶ ἡ ἐλπὶς
ἡ βλεπομένη, δὲν εἶναι ἐλ-
πίς· διατὶ ἐκεῖνο ὁποῦ βλέ-
πει κανεὶς, διατί τὸ ἐλπίζει
πλέον;
25 Ἀμὴ ἐὰν ἐκεῖνο ὁποῦ δὲν
βλέπομεν ἐλπίζομεν, τὸ ἀπαν-
τεχένομεν μὲ ὑπομονήν.
26 Ὁμοίως καὶ τὸ πνεῦμα
βοηθεῖ εἰς ταῖς ἀσθενείαις μας·
ὅτι δὲν ἠξεύρομεν τί νὰ προσευ-
χηθοῦμεν, καθὼς πρέπει· ἀλλ'
αὐτὸ τὸ πνεῦμα παρακαλεῖ διὰ
λόγου μας μὲ στεναγμοὺς ἀλαλή-
τους.
27 Καὶ ἐκεῖνος ὁποῦ ἐξε-
τάζει ταῖς καρδίαις, ἠξεύρει τί
εἶναι τὸ φρόνημα τοῦ πνεύματος·
ὅτι παρακαλεῖ διὰ τοὺς ἁγίους
κατὰ Θεόν.
28 Καὶ ἠξεύρομεν, ὅτι ὅλα
τὰ πράγματα συνεργοῦσιν εἰς
τὸ ἀγαθὸν, εἰς ἐκείνους ὁποῦ ἀ-
γα-

εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν·

γαποῦσι τὸν Θεόν, οἱ ὁποῖοι εἶναι καλεσμένοι κατὰ τὴν πρόθεσίν του.

29 Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς.

29 Ὅτι ἐκείνους ὁποῦ προεγνώρισεν (ὁ Θεὸς), αὐτοὺς καὶ προώρισε νὰ γένουν ὅμοιοι τῆς εἰκόνος τοῦ υἱοῦ του· διὰ νὰ εἶναι αὐτὸς πρωτότοκος ἀνάμεσα εἰς πολλοὺς ἀδελφούς.

30 Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.

30 Καὶ ἐκείνους ὁποῦ προώρισεν, ἐκείνους καὶ ἐκάλεσε· καὶ ἐκείνους ὁποῦ ἐκάλεσεν, ἐκείνους καὶ ἐδικαίωσεν· καὶ ὅσους ἐδικαίωσεν, ἐκείνους καὶ ἐδόξασε.

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ᾽ ἡμῶν;

31 Τί θέλομεν εἰπεῖ λοιπὸν εἰς ἐτοῦτα; ἐὰν ὁ Θεὸς εἶναι διὰ τέμας, τίς θέλει εἶσθαι ἐναντίος μας;

32 Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;

32 Ὁ ὁποῖος δὲν ἐψυχοπονέθη τὸν ἴδιόν του υἱόν, ἀλλὰ διὰ ὅλους μας τὸν ἐπαράδωκε, πῶς δὲν θέλει μᾶς χαρίσει μαζὺ μετ᾽ αὐτὸν καὶ ὅλα τὰ πράγματα;

33 Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν.

33 Τίς ἠμπορεῖ νὰ ἐγκαλέσῃ ἐναντία τῶν ἐκλεκτῶν τοῦ Θεοῦ; ὁ Θεὸς εἶναι ὁποῦ δικαιώνει.

34 Τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν.

34 Ποῖος εἶναι ὁποῦ κατακρίνει; ὁ Χριστὸς εἶναι ὁποῦ ἀπέθανε, καὶ περισσότερον ὁποῦ καὶ ἀνέστη, ὁ ὁποῖος καὶ εἶναι εἰς τὴν δεξιὰν τοῦ Θεοῦ, καὶ παρακαλεῖ διὰ λόγου μας.

35 Τίς ἡμᾶς χωρίσει ἀπὸ

35 Τίς θέλει μᾶς χωρίσει

τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;

36 (Καθὼς γέγραπται, Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.)

37 Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.

38 Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα,

39 Οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ πεῖνα, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;

36 Καθὼς εἶναι γεγραμμένον· ὅτι διὰ λόγου σου θανατωνόμεθεν καθ' ἡμέραν· ὡσὰν πρόβατα τοῦ σφαγῆς ἐλογιασθήκαμεν.

37 Ἀλλὰ μεταξὺ εἰς ὅλα ἐτοῦτα ἐμεῖς ὑπερνικοῦμεν διὰ μέσου ἐκείνου ὁποῦ μᾶς ἀγάπησε.

38 Διατὶ πιστεύω ὅτι οὐδὲ θάνατος, οὐδὲ ζωὴ, οὐδὲ ἄγγελοι, οὐδὲ ἀρχαὶ, οὐδὲ δυνάμεις, οὐδὲ τὰ παρόντα, οὐδὲ τὰ μέλλοντα·

39 Οὐδὲ ὕψος, οὐδὲ βάθος, οὐδὲ καμία ἄλλη κτίσις, θέλει δυνηθῇ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, ἡ ὁποία εἶναι εἰς τὸν Κύριόν μας Ἰησοῦν Χριστόν.

## Κεφ. θ'. 9.

Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, (συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ,)

2 Ὅτι λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου.

3 Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα·

4 Οἵ

Ἀλήθειαν λέγω εἰς Χριστὸν, καὶ δὲν ψεύδομαι, ἔστοντας νὰ μοῦ συμμαρτυρῇ ἡ συνείδησίς μου εἰς Πνεῦμα ἅγιον,

2 Ὅτι ἔχω μεγάλην λύπην, καὶ παντοτεινὸν πόνον εἰς τὴν καρδίαν μου.

3 Διατὶ αὐτὸς ἐγὼ ἐπεθύμουν νὰ εἶμαι χωρισμένος ἀπὸ τὸν Χριστὸν, διὰ τοὺς ἀδελφούς μου τοὺς συγγενεῖς μου κατὰ σάρκα·

4 Οἱ

4 Οἵτινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι·

5 Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν.

6 Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ·

7 Οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα· ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.

8 Τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, λογίζεται εἰς σπέρμα.

9 Ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος· Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός.

10 Οὐ μόνον δέ, ἀλλὰ καὶ Ῥεβέκκα, ἐξ ἑνὸς κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν.

11 Μή-

4 Οἱ ὁποῖοι εἶναι Ἰσραηλῖται, τῶν ὁποίων εἶναι ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ τὰ ταξίματα·

5 Τῶν ὁποίων Ἰσραηλιτῶν εἶναι οἱ πατέρες, καὶ ἀπὸ τοὺς ὁποίους εἶναι ὁ Χριστός, ὅσον εἰς τὴν σάρκα, ὁ ὁποῖος εἶναι ἀπάνω εἰς ὅλα Θεὸς εὐλογημένος εἰς τοὺς αἰῶνας, ἀμήν.

6 Καὶ δὲν εἶναι δυνατὸν νὰ ἐξεπέσῃ ὁ λόγος τοῦ Θεοῦ· διατὶ ὄχι ὅλοι ὅπου εἶναι ἀπὸ τὸ γένος τοῦ Ἰσραήλ, ἐκεῖνοι εἶναι καὶ Ἰσραηλῖται·

7 Οὐδὲ ὅτι εἶναι σπέρμα τοῦ Ἀβραάμ, εἶναι ὅλοι τέκνα τοῦ Ἀβραάμ· ἀλλὰ λέγει, εἰς τὸν Ἰσαὰκ θέλει κληθῇ τὸ σπέρμα σου.

8 Ἤγουν, ὄχι τὰ τέκνα τῆς σαρκός, αὐτὰ εἶναι τὰ τέκνα τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τοῦ ταξίματος, λογαριάζονται πῶς εἶναι σπέρμα.

9 Διατὶ ὁ λόγος τοῦ ταξίματος ἐτοῦτος εἶναι· θέλω ἔλθει εἰς τὸν καιρὸν ἐτοῦτον, καὶ ἡ Σάρρα θέλει ἔχει υἱόν.

10 Καὶ ὄχι μόνον ἐτοῦτο (ὅπου εἴπαμεν), ἀλλὰ καὶ ἡ Ῥεβέκκα, ἔσοντας νὰ συλλάβῃ ἀπὸ ἕνα, (ἤγουν) τὸν πατέρα μας τὸν Ἰσαὰκ (τὸ ὅμοιον ἤκουσε)·



11 Διατὶ

11 Μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακόν, ἵνα ἡ κατ᾽ ἐκλογὴν τοῦ Θεοῦ πρόθεσις μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ᾽ ἐκ τοῦ καλοῦντος,

11 Διατὶ (ἀκόμι τότε) πρὸ τοῦ νὰ γεννηθοῦν τὰ δύο παιδία, καὶ πρὸ τοῦ νὰ κάμουν τίποτες καλὸν ἢ κακόν, διὰ νὰ μένῃ ἡ πρόθεσις τοῦ Θεοῦ ὁποῦ εἶναι κατ᾽ ἐκλογήν, ὄχι ἀπὸ τὰ ἔργα, ἀλλ᾽ ἀπ᾽ ἐκεῖνον ὁποῦ καλεῖ,

12 Ἐρρήθη αὐτῇ· Ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.

12 Ἐλαλήθη εἰς αὐτὴν (τὴν Ῥεβέκκαν)· ὅτι ὁ μεγαλίτερος θέλει δουλεύσει τὸν μικρότερον.

13 Καθὼς γέγραπται· Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα.

13 Καθὼς εἶναι γεγραμμένον· τὸν Ἰακὼβ ἀγάπησα, καὶ τὸν Ἡσαῦ ἐμίσησα.

14 Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γένοιτο.

14 Τί θέλομεν εἰπεῖ λοιπόν; μήπως καὶ εἶναι ἀδικία εἰς τὸν Θεόν; μὴ γένοιτο.

15 Τῷ γὰρ Μωσῇ λέγει· Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω.

15 Διατὶ λέγει εἰς τὸν Μωϋσῆν· θέλω ἐλεήσει, ἐκεῖνον ὁποῦ ἐλεῶ, καὶ θέλω σπλαγχνισθῇ, ἐκεῖνον ὁποῦ σπλαγχνίζομαι.

16 Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ.

16 Ἄρα λοιπὸν οὐδὲ τοῦ θέλοντος εἶναι, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ Θεοῦ ὁποῦ κάμνει τὸ ἔλεος.

17 Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραώ· Ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.

17 Διατὶ λέγει ἡ γραφὴ διὰ τὸν Φαραώ· ὅτι ἐπὶ τὸ αὐτὸ σὲ ἐσήκωσα, διὰ νὰ δείξω εἰς ἐσένα τὴν δύναμίν μου, καὶ διὰ νὰ φημισθῇ τὸ ὄνομά μου εἰς ὅλην τὴν γῆν.

18 Ἄρα οὖν ὃν θέλει, ἐλεεῖ· ὃν δὲ θέλει, σκληρύνει.

18 Ἐκεῖνον λοιπὸν τὸν ὁποῖον θέλει ὁ Θεός, ἐλεεῖ, καὶ ἐκεῖνον ὁποῦ θέλει, σκληρύνει.

19 Ἐρεῖς οὖν μοι· Τί ἔτι μέμφεται; τῷ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε;

19 Λοιπὸν θέλεις μοῦ εἰπεῖ· καὶ διατί ἀκόμι μέμφεται (ὁ Θεός); διατὶ τίς ἀντιστέκει εἰς τὸ θέλημά του;

20 Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· Τί με ἐποίησας οὕτως;

20 Ἀλλά, ὦ ἄνθρωπε, ποῖος εἶσαι ἐσὺ ὁποῦ ἀνταποκρίνεσαι τὸν Θεόν; μήνα λέγει τὸ πλάσμα εἰς ἐκεῖνον ὁποῦ τὸ ἔπλασε· Διατί με ἔκαμες ἔτζι;

21 Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

21 Ἢ δὲν ἔχει ἐξουσίαν ὁ κεραμιδᾶς, ἀπὸ τὴν αὐτὴν λάσπιν νὰ κάμη, ἄλλο μὲν ἀγγεῖον εἰς τιμήν, καὶ ἄλλο εἰς ἀτιμίαν;

22 Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργήν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν;

22 Ἀμὴ ἀνίσως καὶ ὁ Θεὸς θέλωντας νὰ δείξη τὴν ὀργήν του, καὶ νὰ κάμη νὰ γνωρίσουν τὴν δύναμίν του, ὑπόφερε μὲ πολλὴν μακροθυμίαν ἀγγεῖα τῆς ὀργῆς, κατασκευασμένα εἰς ἀπώλειαν·

23 Καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν;

23 Καὶ διὰ νὰ κάμη γνώριμον τὸν πλοῦτον τῆς δόξης του, εἰς σκεύη ἐλέους, τὰ ὁποῖα προετοίμασεν εἰς δόξαν·

24 Οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν.

24 Τοὺς ὁποίους καὶ μᾶς ἐκάλεσεν, ὄχι μόνον ἀπὸ τοὺς Ἰουδαίους, ἀλλὰ καὶ ἀπὸ τὰ ἔθνη.

25 Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει· Καλέσω τὸν οὐ λαόν μου, λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην.

25 Καθὼς λέγει καὶ εἰς τὸν Ὡσηέ· ἐκεῖνον ὁποῦ δὲν εἶναι λαός μου, θέλω τὸν ὀνομάσει λαόν μου· καὶ ἐκείνην ὁποῦ δὲν εἶναι ἀγαπημένη, θέλω τὴν ὀνομάσει ἀγαπημένην.

26 Καὶ ἔσται, ἐν τῷ τόπῳ οὗ ἐρρήθη αὐτοῖς· Οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος.

26 Καὶ θέλει εἶναι, εἰς τὸν τόπον ἐκεῖνον ὁποῦ ἐλαλήθη εἰς αὐτούς, ἐσεῖς δὲν εἶσθε λαός μου· ἐκεῖ θέλουσι καλεσθῆ οἱ υἱοὶ τοῦ Θεοῦ τοῦ ζῶντος.

27 Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ· Ἐὰν ᾖ ὁ ἀριθμὸς

27 Καὶ ὁ Ἡσαΐας κράζει διὰ τὸν Ἰσραήλ· ἐὰν ἤθελε εἶ-

τοῦ υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται.

θαι ὁ ἀριθμὸς τῶν υἱῶν τοῦ Ἰσραὴλ ὡσὰν ὁ ἄμμος τῆς θαλάσσης, τὸ λείψανον μόνον θέλει γλιτώσει.

28 Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς.

28 Διατὶ λογαριασμὸν θέλει συντέμνει καὶ θέλει τελειώσει μὲ δικαιοσύνην, ὅτι θέλει κάμει ὁ Κύριος λογαριασμὸν σύντομον ἀπάνω εἰς τὴν γῆν.

29 Καὶ καθὼς προείρηκεν Ἡσαΐας· Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν.

29 Καὶ καθὼς ἐπροεῖπεν ὁ Ἡσαΐας· ἂν δὲν ἤθελεν μᾶς ἀφήσῃ ὁ Κύριος Σαβαὼθ σπέρμα, ἠθέλαμεν γένῃ ὡσὰν τὰ Σόδομα, καὶ ὡσὰν τὰ Γόμοῤῥα ἠθέλαμεν ὁμοιωθῇ.

30 Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως·

30 Τί θέλομεν εἰπεῖ λοιπόν; ὅτι τὰ ἔθνη ὁποῦ δὲν ἐκυνηγοῦσαν δικαιοσύνην, ἔφθασαν τὴν δικαιοσύνην; δικαιοσύνην (λέγω) ὁποῦ εἶναι ἀπὸ πίστιν.

31 Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε.

31 Ἀλλὰ ὁ Ἰσραὴλ κυνηγῶντας νόμον τῆς δικαιοσύνης, δὲν ἔφθασεν εἰς τὸν νόμον τῆς δικαιοσύνης;

32 Διατί; Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ᾽ ὡς ἐξ ἔργων νόμου. προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος·

32 Διατί; ὅτι δὲν (ἐζήτει) δικαιοσύνην ἀπὸ τὴν πίστιν, ἀλλὰ ὡσὰν ἀπὸ τὰ ἔργα τοῦ νόμου. Διατὶ ἐσκόνταψαν εἰς τὴν πέτραν τοῦ σκανδάλου.

33 Καθὼς γέγραπται· Ἰδοὺ, τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ᾽ αὐτῷ, οὐ καταισχυνθήσεται.

33 Καθὼς εἶναι γεγραμμένον· νά, ὁποῦ βάλλω εἰς τὴν Σιὼν πέτραν σκοντάμματος καὶ πέτραν σκανδάλου· καὶ κάθε ἕνας ὁποῦ πιστεύει εἰς αὐτὸν, δὲν θέλει ἐντροπιασθῇ.

Κεφ. ι. 10.

Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτηρίαν.

2 Μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν·

3 Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

4 Τέλος γὰρ νόμου Χριστὸς, εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.

5 Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς.

6 Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· Μὴ εἴπῃς ἐν καρδίᾳ σου· Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; Τοῦτ' ἔστι Χριστὸν καταγαγεῖν.

7 Ἢ· Τίς καταβήσεται εἰς τὴν ἄβυσσον; Τοῦτ' ἔστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν.

8 Ἀλλὰ τί λέγει; Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου. τοῦτ' ἔστι τὸ

Ἀδελφοί, ἡ ἐπιθυμία τῆς ἐδικῆς μου καρδίας, καὶ ἡ παρακάλεσίς μου εἰς τὸν Θεὸν, διὰ τὸν Ἰσραὴλ εἶναι διὰ τὴν σωτηρίαν τους.

2 Διατὶ τοὺς μαρτυρῶ ὅτι ἔχουσι ζῆλον Θεοῦ, ἀλλὰ ὄχι μὲ γνώρισιν.

3 Διατὶ ἔσοντας νὰ μὴν γνωρίζουσι τὴν δικαιοσύνην τοῦ Θεοῦ, καὶ νὰ ζητοῦσι νὰ στήσουσι τὴν δικαιοσύνην τὴν ἐδικήν τους, δὲν ὑποτάχθηκαν εἰς τὴν δικαιοσύνην τοῦ Θεοῦ.

4 Διατὶ τὸ τέλος τοῦ νόμου εἶναι ὁ Χριστὸς εἰς δικαιοσύνην, εἰς κάθε ἕνα ὅπου πιστεύει.

5 Διατὶ ὁ Μωϋσῆς γράφει τὴν δικαιοσύνην ὅπου εἶναι ἀπὸ τὸν νόμον, λέγοντας ὅτι ὁ ἄνθρωπος ὅπου κάμνει αὐτὰ, θέλει ζήσει διὰ μέσου τους.

6 Ἀμὴ ἡ δικαιοσύνη ὅπου εἶναι ἀπὸ τὴν πίστιν, ἔτζι λέγει· νὰ μὴν εἰπῇς μέσα εἰς τὴν καρδίαν σου, τίς θέλει ἀνέβη εἰς τὸν οὐρανόν; τουτέστι νὰ κατεβάσῃ τὸν Χριστόν.

7 Ἢ· τίς θέλει κατέβη εἰς τὴν ἄβυσσον; τουτέστι νὰ ἀνεβάσῃ ἀπάνω τὸν Χριστὸν ἐκ νεκρῶν.

8 Ἀλλὰ τί λέγει; ὁ λόγος εἶναι σιμὰ σου εἰς τὸ στόμα σου, καὶ εἰς τὴν καρδίαν σου. ἐτοῦτος εἶναι

τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν·

9 Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ.

10 Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.

11 Λέγει γὰρ ἡ γραφή· Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται.

12 Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν.

13 Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.

14 Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; Πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; Πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος;

15 Πῶς δὲ κηρύξουσιν ἐὰν μὴ ἀποσταλῶσι; Καθὼς γέγραπται· Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά.

16 Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ

λέγει·

εἶναι ὁ λόγος τῆς πίστεως, τὸ ὁποῖον κηρύττομεν·

9 Ὅτι ἐὰν ὁμολογήσῃς μὲ τὸ στόμα σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς μέσα εἰς τὴν καρδίαν σου, ὅτι ὁ Θεὸς τὸν ἀνάστησεν ἐκ νεκρῶν, θέλεις σωθῆ.

10 Διατὶ μὲ τὴν καρδίαν πιστεύεται εἰς δικαιοσύνην, καὶ μὲ τὸ στόμα ὁμολογεῖται εἰς σωτηρίαν.

11 Διατὶ λέγει ἡ γραφή· κάθε ἄνθρωπος ὁποῦ πιστεύει εἰς αὐτὸν, δὲν θέλει ἐντραπῆ.

12 Διατὶ δὲν εἶναι διαφορὰ Ἰουδαίου καὶ Ἕλληνος· διατὶ ὁ αὐτὸς εἶναι αὐθέντης ὅλονῶν, καὶ ὁποῦ πλουτίζει ὅλους ἐκείνους ὁποῦ τὸν ἐπικαλοῦνται.

13 Διατὶ κάθε ἕνας ὁποῦ ἐπικαλεσθῇ τὸ ὄνομα Κυρίου, θέλει σωθῆ.

14 Πῶς λοιπὸν ἠμποροῦσιν νὰ ἐπικαλεσθοῦν ἐκεῖνον εἰς τὸ ὁποῖον δὲν ἐπίστευσαν; καὶ πῶς θέλουσι πιστεύσει ἐκεῖνον ὁποῦ δὲν ἄκουσαν; καὶ πῶς θέλουσιν ἀκούσει χωρὶς κανένα ὁποῦ νὰ κηρύσσῃ;

15 Καὶ πῶς θέλουσι κηρύξει ἐὰν δὲν σταλθοῦσι; καθὼς εἶναι γεγραμμένον· πόσον εἶναι εὔμορφα τὰ ποδάρια ἐκείνων ὁποῦ εὐαγγελίζουσι τὴν εἰρήνην, ἐκείνων, λέγω, ὁποῦ εὐαγγελίζουν τὰ ἀγαθά.

16 Ἀλλὰ ὄχι ὅλοι ὑπήκουσαν τὸ εὐαγγέλιον. Διατὶ ὁ

Ἡσα-

λέγει· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;

17 Ἄρα ἡ πίστις ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ.

18 Ἀλλὰ λέγω· Μὴ οὐκ ἤκουσαν; Μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

19 Ἀλλὰ λέγω· Μὴ οὐκ ἔγνω Ἰσραήλ; Πρῶτος Μωσῆς λέγει· Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς.

20 Ἡσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει· Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι.

21 Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.

Ἡσαΐας λέγει· Κύριε, τίς ἐπίστευσεν εἰς τὸ κήρυγμά μας;

17 Ἡ πίστις λοιπὸν εἶναι ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ εἶναι διὰ μέσου τοῦ λόγου τοῦ Θεοῦ.

18 Ἀλλὰ λέγω· μὴ νὰ δὲν ἄκουσαν; βέβαια εἰς ὅλην τὴν γῆν εὐγῆκεν ἡ βοή τους, καὶ εἰς ταῖς ἄκραις τῆς οἰκουμένης τὰ λόγιά τους.

19 Ἀλλὰ λέγω· μὴ νὰ δὲν ἐγνώρισεν ὁ Ἰσραήλ; πρῶτος ὁ Μωϋσῆς λέγει· ἐγὼ θέλω σᾶς παρακινήσει εἰς φθόνον, διὰ μέσου ἑνὸς ἔθνους ὁποῦ δὲν εἶναι ἔθνος μου, μὲ ἔθνος, λέγω, ἀσύνετον θέλω σᾶς παρακινήσει εἰς ὀργήν.

20 Καὶ ὁ Ἡσαΐας ἀποτολμᾷ, καὶ λέγει· εὑρέθην εἰς ἐκείνους ὁποῦ δὲν μὲ ἐζητοῦσαν, ἐφανερώθηκα εἰς ἐκείνους ὁποῦ δὲν ἐρωτοῦσαν διὰ λόγου μου.

21 Καὶ εἰς τὸν Ἰσραὴλ λέγει· ὅλην τὴν ἡμέραν εἶχα ξαπλωμένα τὰ χέρια μου εἰς λαὸν ὁποῦ δὲν πείθεται καὶ ἀντιλέγει.

Κεφ. ια᾽. 11.

ΛΕγω οὖν· Μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο. καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμίν.

2 Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω. Ἢ οὐκ

ΛΕγω λοιπόν· μήνα ὁ Θεὸς ἀπέρριξε τὸν λαόν του; μὴ γένοιτο· διατὶ καὶ ἐγὼ εἶμαι Ἰσραηλίτης, ἀπὸ τὸ σπέρμα τοῦ Ἀβραὰμ, ἀπὸ τὴν φυλὴν τοῦ Βενιαμίν.

2 Δὲν ἀπόβαλλεν ὁ Θεὸς τὸν λαόν του τὸν ὁποῖον προεγνώρισε.

οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή, ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραὴλ, λέγων·

3 Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου.

4 Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ.

5 Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν.

6 Εἰ δὲ χάριτι, οὐκ ἔτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκ ἔτι γίνεται χάρις. εἰ δὲ ἐξ ἔργων, οὐκ ἔτι ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον οὐκ ἔτι ἐστὶν ἔργον.

7 Τί οὖν; Ὃ ἐπιζητεῖ Ἰσραὴλ, τοῦτο οὐκ ἐπέτυχεν· ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν,

8 (Καθὼς γέγραπται)· Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν,) ἕως τῆς σήμερον ἡμέρας.

9 Καὶ Δαβὶδ λέγει· Γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα,

σε. ἢ ἰδὲν ἐξεύρετε τί λέγει ἡ γραφὴ, εἰς (τὴν ἱστορίαν τοῦ) Ἠλία; πῶς αὐτὸς συντυχένει εἰς τὸν Θεὸν ἐναντία τοῦ Ἰσραὴλ, λέγωντας·

3 Κύριε, τοὺς προφήτας σου ἐσκότωσαν, καὶ τὰ θυσιαστήριά σου ἐχάλασαν· καὶ ἐγὼ ἀπόμεινα μοναχὸς, καὶ γυρεύουν νὰ πάρουν τὴν ζωήν μου.

4 Ἀλλὰ τί τοῦ λέγει ἡ ἀπόκρισις τοῦ Θεοῦ; ἄφησα διὰ λόγου μου ἑπτὰ χιλιάδες ἄνδρες, ὁποῦ δὲν ἐγονάτισαν εἰς τὴν Βάαλ.

5 Ἔτζι λοιπὸν καὶ εἰς τοῦτον τὸν καιρὸν ἔμεινε λείψανον κατ' ἐκλογὴν χάριτος.

6 Καὶ ἐὰν εἶναι ἀπὸ τὴν χάριν, δὲν εἶναι πλέον ἀπὸ τὰ ἔργα· διατὶ ἀλλέως, ἡ χάρις δὲν εἶναι πλέον χάρις. ἀμὴ ἂν εἶναι ἀπὸ τὰ ἔργα, δὲν εἶναι πλέον χάρις· ἀλλέως τὸ ἔργον δὲν εἶναι πλέον ἔργον.

7 Τί λοιπόν; ἐκεῖνο ὁποῦ ζητᾷ ὁ Ἰσραὴλ, δὲν τὸ ἐπίτυχεν· ἀμὴ οἱ διαλεγμένοι τὸ ἐπίτυχαν, καὶ οἱ ἐπίλοιποι μακρᾷ λείπουσιν ἀπ' αὐτὸ,

8 (Καθὼς εἶναι γεγραμμένον· ἔδωκέν τους ὁ Θεὸς πνεῦμα ξεμωραμοῦ, μάτια νὰ μὴν βλέπουν, καὶ αὐτία νὰ μὴν ἀκοῦν) ἕως τὴν σήμερον ἡμέραν.

9 Καὶ ὁ Δαβὶδ λέγει· ἂς γένῃ ἡ τράπεζά τους εἰς παγίδα,

γίδα, καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον, καὶ εἰς ἀνταπόδομα αὐτοῖς.

10 Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν· καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

11 Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι; Μὴ γένοιτο. ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς.

12 Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;

13 Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν, ἐφ᾽ ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος· τὴν διακονίαν μου δοξάζω·

14 Εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν.

15 Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, καταλλαγὴ κόσμου· τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;

16 Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι.

17 Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ συγ-

δα, καὶ εἰς βρόχον, καὶ εἰς σκάνδαλον, καὶ εἰς ἀνταμοιβὴν τους.

10 Ἂς σκοτισθοῦν τὰ μάτια τους νὰ μὴν βλέπουν· καὶ τὴν ῥάχιν τους καμπουργιανὲ τὴν πάντοτε.

11 Λέγω λοιπόν· μήνα ἔπταισαν, διὰ νὰ πέσουν; μὴ γένοιτο. ἀλλὰ τὸ πέσιμον αὐτωνῶν, ἔγινε σωτηρία εἰς τὰ ἔθνη, νὰ παρακινηθοῦσιν ἐκεῖνοι εἰς ζηλίαν.

12 Καὶ ἐὰν τὸ πέσιμον αὐτωνῶν εἶναι πλοῦτος τοῦ κόσμου, καὶ τὸ ἐλάττωμά τους εἶναι πλοῦτος τῶν ἐθνῶν, πόσω μᾶλλον τὸ πλήρωμά τους;

13 Διατὶ ἐγὼ λέγω εἰς ἐσᾶς τὰ ἔθνη. εἰς ὅσον εἶμαι ἐγὼ ἀπόστολος ἐθνῶν, τιμῶ τὴν ὑπηρεσίαν μου.

14 Εἴσως καὶ παρακινήσω εἰς ζηλίαν τὴν σάρκα μου, καὶ σώσω μερικοὺς ἀπ᾽ αὐτούς.

15 Διατὶ ἐὰν ἡ ἀποβολή της εἶναι φιλίωσις τοῦ κόσμου, ποῖα θέλει εἶσθαι ἡ δεξίωσίς τους, ἢ παρὰ ζωὴ ἡ ἐκ νεκρῶν;

16 Καὶ ἐὰν ἡ ἀπαρχὴ εἶναι ἁγία, καὶ τὸ ζύμωμα εἶναι ἅγιον· καὶ ἐὰν ἡ ῥίζα εἶναι ἁγία, καὶ τὰ κλαδία εἶναι ἅγια.

17 Ἀμὴ ἀνίσως καὶ κάποια ἀπὸ τὰ κλαδία ἐσυντρίφθηκαν, καὶ ἐσὺ ὄντας ἀγριελαῖο ἐνεκεντρίσθης εἰς τὸν τόπον τους,

καὶ

συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου,

18 Μὴ κατακαυχῶ τῶν κλάδων. εἰ δὲ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ.

19 Ἐρεῖς οὖν· Ἐξεκλάσθησαν οἱ κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ.

20 Καλῶς· τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει ἕστηκας· μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ.

21 Εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδὲ σοῦ φείσηται.

22 Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν· ἐπὶ δὲ σε, χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ.

23 Καὶ ἐκεῖνοι δὲ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς.

